Catalogue de manuscrits grecs copiés à Paris au XVIe siècle par Constantin Palaeocappa

Précédé d'une
présentation biographique
et accompagné d'une
série de dédicaces de Palaeocappa
avec
un fac-simile de son écriture

Publié par
Henri Omont

dans
l'Annuaire de
l'Association pour l'Encouragement
des Etudes Grecques en France
20eme année
p 242-279

1886

CATALOGUE

DE

MANUSCRITS GRECS COPIÉS A PARIS

AU XVI[e] SIÈCLE

PAR

CONSTANTIN PALÆOCAPPA

PUBLIÉ PAR M. HENRI OMONT

On sait fort peu de chose de la vie de Constantin Palæocappa, et encore les quelques renseignements que l'on a sur lui sont-ils souvent contradictoires.

Il écrit son nom Κωνσταντῖνος Παλαιόκαππα (1), ou Παλαιόκαππος (2), en latin *Constantinus Palæocappa* (3), et est originaire de la ville de La Canée *(Cydonia)* (4),

(1) Ms. Suppl. gr. 143.
(2) British Museum, ms. Old. Royal, 16. C. VI. — Cf. la préface du *Triodion* de 1551, réimpr. par E. Legrand, *Bibliographie hellénique,* 1885, t. II, p. 162.
(3) Mss. grec 1057; Suppl. gr. 143, 303; Imprimés, réserve, *E. 3; Bibl. Sainte-Geneviève, ms. A° 2 *bis,* in-fol.; Reims, ms. E. 291/252.
(4) Ms. Suppl. gr. 143.

dans l'île de Crète. Georges Palæocappa, dont parle Papadopoli, dans son *Historia gymnasii Patavini* (Venise, 1726, in-fol., t. I, p. 39), est peut-être son frère : « Georgius Palaeocappa, illustrissimo ac ditissimo ge- « nere natus Cydoniæ in Creta, jurisconsultorum rector « in hoc nostro Lycæo fuit anno MDXLIV. Duos ex « fratre nepotes habuit ipse cælebs, alterum Constan- « tinum, qui artium rector Patavii decessit anno « MDLXXIV...., alterum Jacobum, artibus itidem « præfectum gymnasticis anno MDLXXV... » Georges retourna plus tard en Crète, se fit moine, en prenant le nom de Gérasime, devint évêque de Cissamo et mourut en 1590.

Si l'on en doit croire les souscriptions de plusieurs manuscrits copiés de sa main, Constantin Palæocappa aurait, avant son frère, embrassé la vie religieuse et pris le nom de Pachome (1). Il est dans la *Lavra* de Saint-Athanase, au Mont Athos, en 1539 et 1541, et cette même année il copie un manuscrit dans le monastère de Coutloumousi (2).

Arrivé peu après en Occident, il s'attache à l'archevêque de Reims, Charles de Lorraine, cardinal de Guise, plus connu sous le nom de cardinal de Lorraine (1538-1574), qui le ramena sans doute d'Italie (3). Palæocappa

(1) Ms. grec 887 : *Παχώμιος μοναχὸς εὐτέλης τῆς σεβασμίας Λαύρας μονῆς,αφλθ´*. — Grec 458, même souscription datée de *,αφμα´*. — Grec 461, même souscription, la date paraît avoir disparu, lors de la reliure du ms.

(2) Moscou, bibliothèque du S. Synode, ms. 367 [380], cité dans le Catalogue de Matthæi, p. 241.

(3) Dans une *Notice sur le texte du sacre* (évangéliaire slave de Reims), par J. L. C. Jastrzebski, insérée dans le *Journal général de l'Instruction publique* des 4 et 7 septembre 1839, se trouve une note sur Palæocappa, dont on me permettra de citer l'extrait suivant : « ... J'ai trouvé dans l'inventaire (fait en 1669) des objets, conservés jadis au trésor de la cathédrale de Reims, l'indication d'une tablette provenant aussi de Paléocappas, ainsi décrite : « Item une « tablette, en deux, fort antique, dont les personnages sont faitz du

lui dédie plusieurs manuscrits (1), ainsi qu'à Henri II (2). Accueilli à la cour du roi de France, on le trouve employé à la bibliothèque de Fontainebleau, sous les ordres d'Ange Vergèce, à la rédaction du catalogue des manuscrits grecs de Henri II. On a encore cinq exemplaires du catalogue de la bibliothèque de Fontainebleau copiés de sa main (3), parmi lesquels l'exemplaire original, formé de petits feuillets découpés, classés alphabétiquement et collés sur un registre (4). C'est aujourd'hui le ms. 10 du Supplément grec, qui, comme le rouleau original du catalogue de la librairie de Charles V, a jadis fait partie du cabinet d'Etienne Baluze.

Nombre de manuscrits grecs de l'ancienne bibliothèque de Fontainebleau portent aussi des notices de

« boys de la vray Croix et de la crèche de Notre Seigneur; d'un costé « est représenté Notre Seigneur et les pélerins d'Emaus, et de l'autre « une vierge, tenant le petit Jesus; ladite tablette est dans une custode « d'argent doré, à laquelle est aussy une chesne d'argent, trois marcs, « le tout pesant cinq marcs, une once et demi. Du don de Mgr Charles, « cardinal de Lorraine, archevêque de Reims, faict la veille de Pas- « ques, 1574. Elle provient du Trésor de Constantinople, suivant l'in- « dication grecque, qui est gravée sur une lame d'argent, traduite en « latin, portant ces mots : *Michael Paleocappas regiam hanc sanc- « tam Iconem post expugnationem sub Martha monachus et ancilla « Regina assumens nudam ob metum Turcarum sic pro sua facul- « tate concinnavit*. Avec les armes de Mgr le cardinal de Lorraine « d'un costé et une piramide entourée de lierre de l'autre avec cette « devise : *Te stante virebo*. »

(1) Mss. grecs 1057, 1058; Suppl. gr. 143, 303; Sainte-Geneviève, A° 2 *bis*, in-fol.; Reims, E, 291/252.

(2) Ms. Suppl. grec 1; Imprimés, réserve, *E, 3. — Je laisse de côté le rôle littéraire de Palæocappa qui peut donner lieu à quelques piquantes remarques, mais qu'il serait trop long d'exposer présentement.

(3) Mss. grec 3066; Suppl. gr. 10, 298; Leyde, Voss. gr. in-fol. 47; et Venise, Nani 245. Cf. sur ce dernier ms. la *Bibliothèque de l'Ecole des Chartes*, 1886, t. XLVII, p. 201-207.

(4) Ce dernier catalogue contient aussi un certain nombre de notices de la main d'Ange Vergèce.

sa main, quelques-unes corrigées ou complétées par Vergèce (1).

Il ne faut pas mettre le cardinal de Granvelle au nombre des protecteurs de Palæocappa, bien que deux manuscrits grecs copiés par lui (2) portent les armes et le nom du célèbre cardinal. Ces deux volumes étaient déjà passés par les mains d'un intermédiaire quand ils reçurent les armes du cardinal et entrèrent dans sa bibliothèque.

La plupart des manuscrits copiés par Palæocappa sont aujourd'hui à Paris (3), et beaucoup ont dû y être transcrits par lui. Nous avons au reste son témoignage formel. Le manuscrit Old Royal 16. C. VI du British Museum (4) contient la description détaillée, de la main de Palæocappa, de vingt-six manuscrits, qu'il dit avoir copiés à Paris : Ταῦτα Κωνσταντῖνος Παλαιόκαππος ὁ Κυδωνιάτης γέγραφεν ἐν Λευκετίᾳ τῶν Παρισίων. C'est ce catalogue que nous publions. On nous permettra d'y joindre, en appendice, le texte de quelques dédicaces, mises par Palæocappa en tête de différents volumes, offerts par lui au roi, ou à son protecteur, le cardinal de Lorraine.

(1) Voyez par exemple les mss. grecs 534, 570, 750, 863, etc.

(2) Leyde, Voss. gr. in-fol. 45; Brit. Mus. Additional ms. 23895.

(3) Paris, mss. grecs 436, 458, 460 (fol. 125 et ss.), 461, 887, 944, 1057, 1058, 1187, 1728, 1785, 1870, 1948, 1961, 2014, 2044, 2177 (fol. 1 r°, 121-136), 2220 (fol. 1-41), 2221 (fol. 92-107), 2339, (fol. 57-284), 2349, 2351, 2375, 2467, 2542, 2555, 2565, 2731 (fol. 1-98), 2929, 2968, 3057, 3066; Supplément grec 1, 10 (en partie), 36, 38 (fol. 34 v°-138 v°), 55, 143, 160, 298, 303; Imprimés, réserve, *E, 3; Bibliothèque Sainte-Geneviève, A° 2 *bis*, in-fol.

(4) C'est un petit volume, de format in-8°, mesurant 185 sur 115 millimètres, aujourd'hui relié à la suite du ms. 16. C. V; les feuillets sont numérotés de première main de α' à λ'. — Une copie de ce catalogue, faite par ou pour John Dee, se trouve dans le ms. Harley 1879, fol. 11-18.

FAC-SIMILÉ

DE

L'ÉCRITURE DE CONSTANTIN PALÆOCAPPA

(Ms. grec 1058, fol. 77.)

πρόσω βαδίζοντας, καὶ ὅτι μὴ
πρῶτος αὐτὸς ἕκαστος γέγονε δυσ-
χεραίνει καὶ τυραννίδος ὀρέγεται
καὶ παρανόμων ἀρχῶν. τῆς
τάξεως ἀποστερηθέντος, ἧς
ἀλλαχοῦ πρεσβεύοντας· καὶ τῆς τοῦ βα-
σιλέως ἀρετῆς ἀποστάντος,

ΚΑΤΑΛΟΓΟΣ ΤΩΝ ΒΙΒΛΙΩΝ.

Βιβλίον α^{ον}.

Ἀπολλωνίου Περγαίου κωνικά.

Βιβλίον β^{ον}.

Διοφάντου Ἀλεξανδρέως ἀριθμητικῆς βιβλία η', μετ' ἐξηγήσεως Μαξίμου τοῦ Πλανούδου.

Βιβλίον γ^{ον}.

Θέωνος Ἀλεξανδρέως εἰς τοὺς προχείρους κανόνας τῆς ἀστρονομικῆς παραδόσεως.

Βιβλίον δ^{ον}.

Θεοδοσίου Τριπολίτου σφαιρικῶν βιβλία γ'.

Βιβλίον ε^{ον}.

Πορφυρίου εἰς τὴν ἀποτελεσματικὴν τοῦ Πτολεμαίου. Περὶ οὐρανίων διαθεμάτων. Ζωροάστρου περὶ τῆς τοῦ κυνὸς ἐπιτολῆς καὶ τῆς προγνώσεως.

Βιβλίον ϛ^{ον}.

Ἰωάννου γραμματικοῦ Ἀλεξανδρέως περὶ κατασκευῆς καὶ χρήσεως ἀστρολάβου. Νικηφόρου Γρηγορᾶ τοῦ φιλοσόφου περὶ κατασκευῆς καὶ γενέσεως τοῦ ἀστρολάβου.

Βιβλίον ζον.

Ἰωάννου γραμματικοῦ Ἀλεξανδρέως εἰς τὴν τοῦ Νικομάχου ἀριθμητικὴν ἐξήγησις.

Βιβλίον ηον.

Βαρλαὰμ Πυθαγορείου λογιστικῆς ἀποδείξεως βιβλία ἕξ. Εἰσαγωγὴ συντετμημένως ἐκτεθεῖσα καὶ δι' ὀλιγογραφίας εἰσάγουσα καὶ ὁδηγοῦσα τὸν βουλόμενον εἰς πᾶσαν σχεδὸν τὴν τῆς ἀστρονομίας ὑπόθεσιν καὶ αὐτῆς δὲ μικρὸν τῆς ἀστρολογίας ἁπτομένη. Φασὶ δὲ εἶναι Συνεσίου Κυρηναίου Πτολεμαΐδος. Ὡροκύκλια ἐκ τῆς τοῦ Ἀριστάρχου μαθηματικῆς καὶ σαφήνεια τῶν ιβ' ζῳδίων καὶ ἑπτὰ ἡμερῶν τῆς ἑπτάδος, δηλονότι ὁ δεῖνα μὴν τῷ δεῖνι ἀνάκειται ζῳδίῳ, καὶ ἡ δεῖνα ἡμέρα τῷ δεῖνι πλανήτῃ.

Βιβλίον θον.

Ἰωάννου τοῦ Πεδιασίμου ἐξήγησις μερικὴ εἰς τὰ τοῦ Κλεομήδους σαφηνείας δεόμενα.

Βιβλίον ιον.

Γεωργίου Παχυμέρεος περὶ τῶν τεσσάρων μαθημάτων.

Βιβλίον ιαον.

Συριανοῦ τοῦ Φιλοξένου περὶ τῶν ἐν τῷ δευτέρῳ τῆς μετὰ τὰ φυσικὰ Ἀριστοτέλους πραγματείας λογικῶς ἠπορημένων καὶ διαίτης ἠξιωμένων. Τοῦ αὐτοῦ εἰς τὰ περὶ προνοίας τίνα συντελοῦντα.

Βιβλίον ιβον.

Θεοδώρου Μετοχίτου εἰς τὰ ὀκτὼ τῆς τοῦ Ἀριστοτέλους φυσικῆς ἀκροάσεως ἐξήγησις.

Βιϐλίον ιγον,

ἐν ᾧ ταῦτα τὰ κεφάλαια περιέχεται.

Νεμεσίου περὶ φύσεως ἀνθρώπου.

Περὶ ψυχῆς. Περὶ ἑνώσεως ψυχῆς καὶ σώματος. Περὶ σώματος. Περὶ στοιχείων. Περὶ φανταστικοῦ. Περὶ ὄψεως. Περὶ ἀφῆς. Περὶ γεύσεως. Πέρὶ ἀκοῆς. Περὶ ὀσφρήσεως. Περὶ τοῦ διανοητικοῦ. Περὶ τοῦ μνημονευτικοῦ. Περὶ τοῦ ἐνδιαθέτου, καί προφορικοῦ λόγου. Περὶ τῶν μερῶν τῆς ψυχῆς. Περὶ τοῦ ἀλόγου τῆς ψυχῆς μέρους, ἢ εἴδους, ὃ παθητικὸν καὶ θρεπτικὸν καλεῖται. Περὶ ἐπιθυμητικοῦ. Περὶ ἡδονῆς. Περὶ λύπης. Περὶ θυμοῦ. Περὶ φόϐου. Περὶ ἀλόγου καὶ τοῦ κατηκόου λόγου. Περὶ τοῦ θρεπτικοῦ. Περὶ σφυγμῶν. Περὶ τοῦ γεννητικοῦ, ἢ σπερματικοῦ. Ἑτέρα διαίρεσις τῶν διοικουσῶν δυνάμεων τὸ ζῶον. Περὶ τῆς καθ' ὁρμὴν, ἢ κατὰ προαίρεσιν κινήσεως, ἥτις ἐστὶ τοῦ ὀρεκτικοῦ. Περὶ ἀναπνοῆς. Περὶ ἀκουσίου καὶ ἑκουσίου. Περὶ ἀκουσίου. Περὶ τοῦ δι' ἄγνοιαν ἀκουσίου. Περὶ ἑκουσίου τοῦ δι' ἄγνοιαν καὶ τοῦ κατὰ βίαν ἑκουσίου. Περὶ προαιρέσεως. Περὶ τίνων βουλευόμεθα. Περὶ εἱμαρμένης. Περὶ τῆς δι' ἄστρων εἱμαρμένης. Περὶ τῶν λεγόντων τὴν μὲν αἵρεσιν τῶν πρακτῶν εἶναι ἐφ' ἡμῖν, τὴν δὲ ἀπόϐασιν τῶν αἱρεθέντων ἐπὶ εἱμαρμένην. Περὶ εἱμαρμένης Πλάτωνος. Περὶ αὐτεξουσίου, ἤτοι ὅτι ἐστὶ τινὰ ἐφ' ἡμῖν. Περὶ τοῦ τίνα τὰ ἐφ' ἡμῖν. Διὰ ποίαν αἰτίαν αὐτεξούσιοι γεγόναμεν. Περὶ προνοίας.

Βιϐλίον ιδον.

Μιχαὴλ τοῦ Ψελλοῦ εἰς τὴν τοῦ Πλάτωνος ψυχογονίαν. Τοῦ αὐτοῦ περὶ ἐνεργείας δαιμόνων. Αἰλιανοῦ περὶ στρατηγικῶν ὀνομάτων τε καὶ τάξεων. Γενναδίου πατριάρχου Κωνσταντινουπόλεως τοῦ Σχολαρίου ἀπολογία πρὸς τὸν Ἀμηρὰν Μεχμέτην τὸν Ἀμουράτεω ἐρωτήσαντα περὶ τῆς τῶν Χριστιανῶν ἁγίας πίστεως.

Βιβλίον ιε^ον,

ἐν ᾧ κεφαλαιωδῶς ταῦτα περιλαμβάνεται.

Μελετίου περὶ φύσεως ἀνθρώπου.

Τί ἐστιν ἄνθρωπος. Πόθεν ἄνθρωπος. Πόσαι ὀνομασίαι τῆς μήτρας. Πόθεν τρέφεται τὸ ἔμβρυον καὶ πόθεν ἀναπνεῖ. Πῶς κεῖται τὸ ἔμβρυον ἐν τῇ μήτρᾳ. Τί ἐστι γάλα. Περὶ ψυχῆς. Πόθεν ὄρεξις. Τί ἐστιν ὄρεξις. Πῶς γίνεται πολιά. Τίς ἡ χρεία τῶν ἰατρῶν. Πόσαι δυνάμεις ἐνεργοῦσιν ἐν ἡμῖν. Τί ἐστι νοῦς. Τί ἐστι φαντασία. Τί ἐστι διάνοια. Τί ἐστι λογισμός. Πόθεν νοῦς. Περὶ τοῦ ζωτικοῦ πνεύματος. Πόθεν ὁρμῶνται αἱ φυσικαὶ δυνάμεις. Περὶ τοῦ τῆς ψυχῆς τριμεροῦς. Τί ἐστι θυμός. Τί ἐστι λογισμός. Τίνες ἀρεταὶ τοῦ θυμικοῦ, καὶ τίνες κακίαι, ὁμοίως καὶ τῶν ἑτέρων δυνάμεων, τοῦ τε ἐπιθυμητικοῦ καὶ τοῦ λογιστικοῦ. Πόσα εἴδη τῆς σοφίας. Τί ἐστι σοφία. Τί ἐστι σωφροσύνη. Περὶ τοῦ λογισμοῦ. Ποῖαι εἰσὶ ψυχικαὶ ἡδοναί, καὶ ποῖαι σωματικαί. Ποῖαι εἰσὶν ἀναγκαῖαι, καὶ ποῖαι φύσει οὐκ ἀναγκαῖαι δὲ, καὶ ποῖαι οὔτε φυσικαὶ οὔτε ἀναγκαῖαι. Τί ἐστι μνήμη. Τί ἐστιν ἀνάμνησις. Τί ἐστι λήθη. Περὶ τῶν γενικῶν ἀρετῶν τῆς ψυχῆς. Τί ἐστιν ἔθος. Τί λέγεται σκελετός, γόμφωσις, ῥαφή. Πόθεν ὑμήν. Περὶ πνεύμονος. Πῶς γίνεται πέψις. Περὶ τῆς τραχείας ἀρτηρίας, καὶ τοῦ οἰσοφάγου. Ὅτι ὁ σπλὴν φύσει ψυχρός ἐστι. Τὸ ἐπίπλον. Πῶς γίνεται τὸ οὖρον. Περὶ σκυβάλων. Περὶ ἐκκρίσεως. Πῶς τρέφεται ὁ ἐγκέφαλος. Τίς ἡ χρεία τοῦ ὕπνου. Πόθεν ὕπνος. Τί ἐστιν ὕπνος. Πῶς γίνεται ἡ χάσμη. Πόσα δύναται δρᾷν ὁ ὕπνος. Πόθεν λύπη. Τί ἐστι δάκρυον., Περὶ χαρᾶς. Ποῖα εἰσὶ τὰ ὁμοιομέρη. Τί ἐστιν ὑγεία. Ἡ κατασκευὴ τοῦ ἀνθρώπου: Πόθεν μέλη καὶ μέρη. Πόθεν κεφαλή. Πόθεν ἐγκέφαλος. Πόθεν μύξα. Πόθεν μήνιγγες. Πόθεν μέτωπον. Πόθεν βρέγμα. Πόθεν κορυφή. Πόθεν ἰνίον. Πόθεν ἶνες. Περὶ τοῦ δικτυώδους πλέγματος. Οἱ μύες τίνα χρείαν ἔχουσι καὶ τίνα ἐνεργείαν. Ποταποί εἰσιν οἱ μύες τῇ οὐσίᾳ.

Διατί ἡ κεφαλή ἐστι σφαιροειδής. Πόθεν γινώσκομεν τὴν κατ' ἰδιοπαθείαν ὀφθαλμίαν. Περὶ τῶν ὀφθαλμῶν. Ὅτι πολυφωτότατός ἐστι τοῦ μέλανος ὀφθαλμοῦ ὁ γλαυκός. Πόθεν βλέφαρον. Πόθεν ὀφρύες. Πόσοι μύες εἰσὶν οἱ κανοῦντες τοὺς ὀφθαλμούς. Διατί λέγεται ῥὶς καὶ μυκτῆρες. Περὶ τῆς ῥινὸς ἔστι γὰρ καμπύλη. Πόθεν σιαγόνες. Πόθεν γένειον. Πόθεν ὦτα. Περὶ τῶν γνάθων. Περὶ τοῦ χείλους. Περὶ τῆς γλώττης. Περὶ τῆς ἐπιγλωττίδος. Πῶς ὀνομάζονται οἱ ὀδόντες. Πόθεν γαργαρεών. Ποῖα εἰσὶ φωνητικὰ ὄργανα, καὶ ποῖα διαλεκτικά. Τίς ἡ χρεία τοῦ γαργαρεῶνος, καὶ τίς ἡ ἐνεργεία. Πῶς γίνεται ἡ ἀφωνία, καὶ ἡ κακοφωνία. Περὶ τῆς ἀναπνοῆς. Τί ἐστι διάφραγμα. Περὶ τοῦ στήθους. Τί ἐστι θώραξ. Περὶ τοῦ τραχήλου. Περὶ τῶν μεταφρένων. Διά τι λέγεται νῶτος. Πόσαι εἰσιν αἱ πλευραί. Περὶ τοῦ ὑπεζωκότος. Πόθεν πλευραί. Ἐκ πόσων σύγκειται ὁ πνεύμων. Πόθεν τρέφεται ὁ πνεύμων. Πόθεν τρέφονται τὰ νεῦρα. Περὶ τῆς καρδίας. Περὶ τοῦ ἐρωτικοῦ πόνου. Περὶ τοῦ θυμοῦ. Περὶ περιναίου. Περὶ σπλάγχνων. Διατί λέγεται στόμαχος. Πῶς μεταλαμβάνει ἡ γαστὴρ ἀπὸ τοῦ στομάχου τὴν τροφήν. Πόθεν ἄρτος. Περὶ τοῦ ἥπατος. Πόθεν ἧπαρ. Περὶ τοῦ σπληνός. Περὶ τῆς κοιλίας. Κατὰ πόσας αἰτίας περιλαμβάνεται ἡ τροφὴ ἐν τῷ σώματι. Ποῦ κεῖνται οἱ τέσσαρες χυμοί. Τί ἐστιν ἀνάχρεμψις καὶ ἀπόχρεμψις. Ποῦ κεῖται ὁ οἰσοφάγος. Τάξις τῶν ἐντέρων. Περὶ τοῦ τυφλοῦ. Πόθεν σφιγκτήρ. Πόσαι πέψεις. Πόθεν ἔντερα. Ποῖον λέγεται κενεών. Διατί λέγεται ἥβη. Πόθεν ἦτρον. Πόθεν λαγών. Περὶ τοῦ οὔρου. Πόθεν βουβών. Οὐρητικὰ ὄργανα. Πόθεν ὀσφύς. Πόθεν ἰσχίον. Ὅτι ἡ ἕδρα καὶ δακτύλιος λέγεται. Πόθεν πόσθη. Τὰ σπερματικὰ ἀγγεῖα. Πῶς γίνεται ἡ συνουσία. Περὶ τῆς μήτρας. Περὶ τῶν χειρῶν. Ὅτι καὶ τῶν τοῦ νοὸς ἐνεργειῶν αἱ χεῖρες ἀποτελεστικαί. Ποῖον λέγεται πῆχυς καὶ ποῖον λέγεται κερκίς. Πόθεν δάκτυλοι καὶ πῶς ὀνομάζονται. Ποῖον λέγεται παλαιστή. Περὶ τῆς κοτύλης. Πόθεν ἀγκών. Πόθεν ὄνυξ. Διατί λέγεται δεξιὰ καὶ ἀριστερά. Περὶ ποδός. Διατί κοτύλη. Περὶ σκέλους. Πῶς συνίσταται ἡ πιμελή. Περὶ στοιχείων.

Βιβλίον ιϛ^{ον}.

Ῥούφου Ἐφεσίου περὶ ὀνομασίας τῶν τοῦ ἀνθρώπου μορίων βιβλία τρία. Μιχαὴλ τοῦ Ψελλοῦ περὶ διαίτης. Ἐπιστολὴ Διοκλέους πρὸς Πτολεμαῖον περὶ ὑγιεινῆς διαίτης. Ἀράτου προγνωστικὰ χειμερινοῦ ἀέρος καὶ ἐκ ποίων τεκμηρίων ὄμβρους χρὴ προσδοκᾷν.

Βιχλίον ιζ^{ον},

τάδε περιέχον.

Ἀρεταίου Καππαδόκου περὶ αἰτίων καὶ σημείων ὀξέων παθῶν βιβλίον α^{ον}.

Περὶ τετάνου. Περὶ συνάγχης. Περὶ τῶν κατὰ τὴν κιονίδα παθῶν. Περὶ τῶν κατὰ τὰ παρίσθμια ἑλκῶν. Περὶ πλευρίτιδος. Ἀρεταίου Καππαδόκου περὶ αἰτίων καὶ σημείων ὀξέων παθῶν βιβλίον β^{ον}.

Περὶ πνευμονίης. Περὶ αἵματος ἀναγωγῆς. Περὶ συγκωπῆς. Περὶ καύσωνος. Περὶ χολέρας. Περὶ εἰλεοῦ. Περὶ τῶν κατὰ τὸ ἧπαρ ὀξέων παθῶν. Περὶ τῆς κατὰ τὴν κοίλην φλέβα ὀξείης νόσου. Περὶ τῶν κατὰ τοὺς νεφροὺς ὀξέων πάθων. Περὶ τῶν κατὰ τὴν κύστιν ὀξέων πάθων. Περὶ ὑστερικῆς πνιγός. Περὶ σατυριάσεως.

Ἀρεταίου Καππαδόκου περὶ αἰτίων καὶ σημείων χρονίων παθῶν βιβλίον α^{ον}.

Περὶ χρονίων παθῶν. Περὶ κεφαλαίης. Περὶ σκοτωματικῶν. Περὶ ἐπιληψίης. Περὶ μελαγχολίης. Περὶ μανίης. Περὶ παραλύσεως. Περὶ φθίσιος. Περὶ ἐμπυϊκῶν. Περὶ πνευμονικῶν. Περὶ τῶν κατὰ τὸν πνεύμονα ἀποστάσεων. Περὶ ἄσθματος. Περὶ πνευμωδῶν. Περὶ ἥπατος. Περὶ σπληνὸς. Περὶ ἰκτέρου. Περὶ καχεξίης.

Ἀρεταίου Καππαδόκου χρονίων παθῶν σημειωτικὸν βιβλίον β^{ον}.

Περὶ ὕδρωπος. Περὶ διαβήτου. Περὶ τῶν κατὰ τοὺς νέφρους παθῶν. Περὶ τῶν ἐν κύστει. Περὶ γονοῤῥοίας.

Περὶ στομαχικῶν. Περὶ κοιλίης διαθέσιος. Περὶ κωλικῶν. Περὶ δυσεντερίης. Περὶ λειεντερίης. Περὶ ὑστερικῶν. Περὶ ἀρθρίτιδος. Περὶ ἐλεφαντιάσεως.

Ἀρεταίου Καππαδόκου ὀξέων νούσων θεραπευτικὸν βιβλίον α^{ον}.

Θεραπεία φρενητικῶν. Θεραπεία ληθαργικῶν, Θεραπεία μαρασμοῦ. Θεραπεία ἀποπληξίας. Θεραπεία παροξυσμοῦ ἐπιληπτικῶν. Θεραπεία τετάνου. Θεραπεία συνάγχης. Θεραπεία τῶν κατὰ τὴν κιονίδα παθῶν. Θεραπεία τῶν κατὰ τὸν φάρυγγα λοιμικῶν παθῶν. Θεραπεία πλευρίτιδος.

Ἀρεταίου Καππαδόκου ὀξέων νούσων θεραπευτικὸν βιβλίον β^{ον}.

Θεραπεία πνευμονίης. Θεραπεία αἵματος ἀναγωγῆς. Θεραπεία καρδιακῶν. Θεραπεία χολέρης. Θεραπεία εἰλεοῦ. Θεραπεία τῶν κατὰ τὸ ἧπαρ ὀξέων παθῶν. Θεραπεία νωτιαίας φλεβὸς καὶ ἀρτηρίας ὀξείης νόσου. Θεραπεία τῆς κατὰ τοὺς νεφροὺς ὀξείης νόσου. Θεραπεία τῶν κατὰ τὴν κύστιν ὀξέων πάθων. Θεραπεία ὑστερικῆς πνιγός. Θεραπεία σατυριάσεως.

Ἀρεταίου Καππαδόκου χρονίων νούσων θεραπευτικὸν βιβλίον α^{ον}.

Θεραπεία τῆς κεφαλαίης. Θεραπεία σκοτωματικῶν. Θεραπεία ἐπιληψίης. Θεραπεία μελαγχολίης. Θεραπεία σπληνός. Θεραπεία ἐλέφαντος.

Βιβλίον ιη^{ον}.

Περὶ οὔρων ἀπὸ φωνῆς Θεοφίλου. Στεφάνου μάγνου περὶ οὔρων. Θεοφίλου περὶ σφυγμῶν. Μιχαὴλ τοῦ Ψελλοῦ σύνοψις περὶ ἰατρικῆς περιέχουσα τάς τε αἰτίας καὶ σημειώσεις τῶν παθημάτων συνοπτικῶς, πρὸς Κωνσταντῖνον βασιλέα τὸν Πορφυρογεννήτον.

Βιβλίον ιθ^{ον}.

Ὠριγένους περὶ ὀρθῆς πίστεως. Θεοφίλου περὶ τῆς τῶν Χριστιανῶν πίστεως, πρὸς Αὐτόλυκον Ἕλληνα.

Βιβλίον κ^ον^,

ἐν ᾧ ταῦτα ἔνεστι τὰ κεφάλαια.

Ὠριγένους φιλοκαλία.

Περὶ τοῦ θεοπνεύστου τῆς θείας γράφης, καὶ πῶς ταύτην ἀναγνωστέον καὶ νοητέον, τίς τε ὁ τῆς ἐν αὐτῇ ἀσαφείας λόγος, καὶ τοῦ κατὰ τὸ ῥητὸν ἔν τισιν ἀδυνάτου ἢ ἀλόγου. Ὅτι κέκλεισται καὶ ἐσφράγισται ἡ θεία γραφή. Διατί κβ′ τὰ θεόπνευστα βιβλία. Περὶ σολοικισμοῦ καὶ εὐτελοῦς φράσεως τῆς γραφῆς. Τίς ἡ πολυλογία, καὶ τίνα τὰ πόλλα βιβλία, καὶ ὅτι πᾶσα ἡ θεόπνευστος γραφὴ ἓν βιβλίον ἐστίν. Ὅτι ἓν ὄργανον Θεοῦ τέλειον καὶ ἡρμοσμένον ἡ θεῖα γραφή. Περὶ τοῦ ἰδιώματος τῶν προσώπων τῆς θείας γραφῆς. Περὶ τοῦ μηδὲν τὰ σολοικοειδῆ, καὶ μὲν σώζοντα τὴν κατὰ τὸ ῥητὸν ἀκολουθίαν, ῥητὰ τῆς γραφῆς, ἐπιχειρεῖν διορθοῦσθαι, πολὺ τοῖς συνιέναι δυναμένοις τὸ τῆς διανοίας ἀκόλουθον σώζοντα. Τίς ὁ λόγος τοῦ τὴν θείαν γραφὴν κατὰ διάφορα σημαινόμενα τῷ αὐτῷ ὀνόματι κεχρῆσθαι πολλάκις, καὶ ἐν τῷ αὐτῷ τόπῳ. Περὶ τῶν ἐν τῇ θείᾳ γραφῇ δοκούντων ἔχειν τί λίθου προσκόμματος, ἢ πέτραν σκανδάλου. Ὅτι χρὴ πάσης τῆς θεοπνεύστου γραφῆς τὸ τρόφιμον διώκειν, και τὰ ὑπὸ τῶν αἱρετικῶν ταρασσόμενα ῥητὰ δυσφήμοις ἐπ᾽ ἀπορήσεσι μὴ ἀποτρέπεσθαι, μήδε ὑπερηφανεῖν, ἄλλα καὶ αὐτῶν μεταλαμβάνειν τῆς ἐν ἀπιστίᾳ ταραχῆς ἐκτός. Πρὸς τὸ μὴ ἐκκακεῖν ἐν τῇ ἀναγνώσει τῆς θείας γραφῆς τὸν μὴ συνιέντα τὸ σκοτεινὸν τῶν ἐν αὐτῇ αἰνιγμάτων καὶ παραβολῶν. Πότε καὶ τίσι τὰ ἀπὸ φιλοσοφίας μαθήματα χρήσιμα, εἰς τὴν τῶν ἱερῶν γραφῶν διήγησιν, μετὰ γραφικῆς μαρτυρίας. Ὅτι τοῖς θέλουσι μὴ σφάλλεσθαι περὶ τὴν ἀλήθειαν ἐν τῷ νοεῖν τὰς θείας γραφὰς, ἀναγκαιότατον ἐστὶ τὰ ἁρμόζοντα εἰς τὴν χρῆσιν εἰδέναι λογικὰ μαθήματα ἤτοι προπαιδεύματα, ὧν ἄνευ ἀκρίβειαν σημαινομένων οὐ δύναται, ὃν δεῖ τρόπον παρίστασθαι. Πρὸς τοὺς Ἑλλήνων φιλοσόφους, τὸ εὐτελὲς τῆς τῶν θείων γραφῶν φράσεως διασύροντας, καὶ τὰ ἐν χριστιανισμῷ καλὰ βέλτιον παρ᾽ Ἕλλησιν εἰρῆσθαι φάσκοντας,

καὶ προσέτι δυσειδὲς τὸ τοῦ κυρίου σῶμα λέγοντας, καὶ τίς ὁ λόγος τῶν διαφόρων τοῦ λόγου μορφῶν. Περὶ τῶν διαβαλλόντων τὸν χριστιανισμὸν διὰ τὰς ἐν ἐκκλησίᾳ αἱρέσεις. Πρὸς τοὺς λέγοντας τῶν φιλοσόφων μηδὲν διαφέρειν τῷ παρ' Ἕλλησι φερομένῳ ὀνόματι τὸν ἐπὶ πᾶσι Θεὸν καλεῖν Δία, ἢ τῷ δεῖνα φέρε εἰπεῖν παρ' Ἰνδοῖς, ἢ τῷ δεῖνα παρ' Αἰγυπτίοις. Πρὸς τοὺς Ἑλλήνων φιλοσόφους πάντα ἐπαγγελλομένους εἰδέναι, καὶ αἰτιωμένους τὸ ἀνεξέταστον τῆς τῶν πολλῶν ἐν χριστιανισμῷ πίστεως, καὶ ὡς προτιμώντων τῆς ἐν βίῳ σοφίας τὴν μωρίαν· καὶ ὅτι οὐδεὶς σοφὸς ἢ πεπαιδευμένος μεμαθήτευται τῷ Ἰησοῦ, ἀλλ' ἢ ναῦται καὶ τελῶναι πονηρότατοι, ἠλιθίους καὶ ἀναισθήτους, ἀνδράποδά τε καὶ γύναια καὶ παιδάρια ὑπάγοντες τῷ κηρύγματι. Ὅτι ἡ εἰς τὸν κύριον ἡμῶν πίστις μηδὲν κοινὸν ἔχουσα πρὸς τὴν ἄλογον τῶν ἐθνῶν δεισιδαίμονα πίστιν, ἐπαινετή τε ἐστι, καὶ ταῖς ἀρχῆθεν κοιναῖς ἐννοίαις συναγορεύει· καὶ πρὸς τοὺς λέγοντας πῶς ἐκ θνητοῦ σώματος ὄντα τὸν Ἰησοῦν, Θεὸν νομίζομεν. Πρὸς τοὺς λέγοντας μὴ διὰ τὸν ἄνθρωπον, ἀλλὰ διὰ τὰ ἄλογα ζῷα γεγονέναι τὸν ἅπαντα κόσμον καὶ τοὺς ἀνθρώπους, ἐπεὶ ἀπονώτερον ἡμῶν τὰ ἄλογα ζῇ· καὶ ὅτι σοφώτερα ἡμῶν ὄντα, θεοφιλῆ τέ ἐστι, καὶ ἔννοιαν ἔχει Θεοῦ, καὶ προγινώσκει τὰ μέλλοντα, ἐν οἷς καὶ κατὰ μετεμψυχώσεως, καὶ περὶ οἰωνιστικῆς, καὶ τῆς κατ' αὐτὴν ἀπάτης. Περὶ αὐτεξουσίου, καὶ τῶν δοκούντων ἀναιρεῖν τοῦτο γραφικῶν ῥητῶν λύσις καὶ ἑρμηνεία. Τίς ἡ τῶν ἐπὶ γῆς λογικῶν ἤτοι ἀνθρωπίνων ψυχῶν διασπορὰ ἐπικεκρυμμένως δηλουμένη ἐκ τῆς οἰκοδομῆς τοῦ πύργου, καὶ τῆς κατ' αὐτὴν συγχύσεως τῶν γλωσσῶν, ἐν ᾧ καὶ περὶ πολλῶν κυρίων ἐπιτεταγμένων τοῖς διασπαρεῖσι κατὰ ἀναλογίαν τῆς καταστάσεως. Περὶ εἱρμαρμένης, καὶ πῶς προγνώστου ὄντος τοῦ Θεοῦ τῶν ὑφ' ἑκάστου πραττομένων, τὸ ἐφ' ἡμῖν σῴζεται, καὶ τίνα τρόπον οἱ ἀστέρες οὐκ εἰσὶ ποιητικοὶ τῶν ἐν ἀνθρώποις, σημαντικοὶ δὲ μόνον, καὶ ὅτι ἄνθρωποι τὴν περὶ τούτων γνῶσιν ἀκριβῶς ἔχειν οὐ δύνανται, ἀλλὰ δυνάμεσι θείαις τὰ σημεῖα ἔκκειται, καὶ τίς ἡ τούτων αἰτία. Ἐν ᾧ καὶ Κλήμεντος, ἐπισκόπου Ῥώμης, ἐν τῷ πρὸς τὸν πατέρα ἐν Λαοδικείᾳ λόγῳ, ἀναγκαιότατόν τι θεώρημα, ἐν οἷς δοκεῖ ἀληθεύειν ἀστρολογία.

Περὶ τῆς ὕλης ὅτι οὐκ ἀγένητος, οὐδὲ κακῶν αἰτία. Ὅτι ἐκ προγνώσεως ἀφορισμὸς οὐκ ἀναιρεῖ τὸ αὐτεξούσιον. Περὶ τοῦ τίνα τὰ ἀγαθὰ καὶ τίνα τὰ κακά, καὶ ὅτι ἐν προαιρέτοις, κατὰ τὴν τοῦ Χριστοῦ διδασκαλίαν, ἀλλ' οὐχ ὡς Ἀριστοτέλης οἴεται. Εἰς τὸ ἐσκλήρυνε Κύριος τὴν καρδίαν Φαραώ.

Βιβλίον κα^{ον}.

Βασιλείου, ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας τοῦ Νέου, ἐξήγησις εἰς πάντας τοὺς λόγους Γρηγορίου Θεολόγου τοῦ Ναζανζηνοῦ, πρὸς αὐτοκράτορα Κωνσταντῖνον τὸν Πορφυρογέννητον.

Βιβλίον κβ^{ον}.

Θεοδωρίτου Ἑλληνικῶν θεραπευτικὴ παθημάτων, ἤτοι εὐαγγελικῆς ἀληθείας ἐξ Ἑλληνικῆς φιλοσοφίας ἐπίγνωσις, λόγοι ιβ'.

Βιβλίον κγ^{ον}.

Θεοδωρίτου εἰς τὰ ἄπορα τῆς θείας γραφῆς, ὧν αἱ ζητήσεις εἰσὶν αὗται:

Εἰς τὴν Γένεσιν.

Τί δήποτε τῆς τῶν ἀγγέλων οὐκ ἐμνήσθη δημιουργίας. Προϋπάρχουσιν οὐρανοῦ καὶ γῆς ἄγγελοι, ἢ σὺν αὐτοῖς ἐγένοντο, ἀλλὰ φασί τινες χρῆναι λέγειν προυπάρχειν οὐρανοῦ καὶ γῆς τοὺς ἀγγέλους, ἀγγέλων γάρ φασιν οὐκ ὄντων, πῶς ὁ τῶν ὅλων ὑμνεῖτο Θεός. Εἰ ἦν ἡ γῆ; πῶς ἐγένετο, λέγει γὰρ ὁ συγγράφευς, ἡ δὲ γῆ ἦν. Οὐκ ἐδίδαξεν ἡμᾶς ὁ Μωσῆς ὅτι καὶ τὰ ὕδατα ἐδημιούργησεν ὁ Θεός. Ποίου τοίνυν φωτὸς ἄμοιρος αἰφνιδίως ὁ ἐν τῷ κόσμῳ τόπος εὑρέθη, ὥστε τὸ σκότος ἐπάνω εἶναι τοῦ ὕδατος. Εἰ τὸ φῶς ὁ Θεὸς ἐδημιούργησε, πῶς αὐτὸ τὸ σκότος ἐποίησεν ἐναντία γὰρ ταῦτα ἀλλήλοις. Ποῖον πνεῦμα ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος: Τίνι λέγει ὁ Θεὸς γενηθήτω φῶς, καὶ γενηθήτω στερέωμα: Διατί τέθεικεν ὁ συγγραφεὺς τὸ εἶδεν ὁ Θεὸς ὅτι καλόν. Εἷς οὐρανὸς ἢ δύο εἰσίν: Τί δήποτε μίαν εἰπὼν τὴν τῶν ὑδάτων



συναγωγὴν, πολλὰς μεταταῦτα δηλοῖ· συνήχθη γάρ φησι τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς τὰς συναγωγὰς αὐτῶν. Τί δήποτε τὰς οὐκ ἐδωδίμους βοτάνας βλαστῆσαι προσέταξεν ὁ Θεός. Τῶν φωστήρων δημιουργηθέντων, τί γέγονε τὸ πρότερον φῶς. Τί ἐστιν εἰς σημεῖα καὶ εἰς καιροὺς καὶ εἰς ἐνιαυτοὺς καὶ εἰς ἡμέρας. Τί δήποτε τὰ μὲν φυτὰ πρὸ τῶν φωστήρων ἐποίησε, τὰ δὲ ζῷα μετὰ τούτους. Τίνος χάριν τὰ μὲν φυτὰ οὐκ εὐλόγησε, τοῖς δὲ ζῴοις ἔφη, αὐξάνεσθε καὶ πληθύνεσθε καὶ τὰ ἑξῆς. Διατὶ τὰ θηρία καὶ τὰ ἑρπετὰ πεποίηκεν ὁ Θεός. Τίνι ὁ Θεὸς εἴρηκα, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν. Τί ἐστι τὸ κατ' εἰκόνα. Τί δήποτε διαφερόντως τὴν ἡμέραν τὴν ἑβδόμην εὐλόγησεν ὁ Θεός. Τί ἐστι, πηγὴ δὲ ἀνέβαινεν ἀπὸ τῆς γῆς καὶ ἐπότιζε πᾶν πρόσωπον τῆς γῆς. Εἰ ἐκ τοῦ θείου ἐμφυσήματος γέγονεν ἡ ψυχὴ ἐκ τῆς οὐσίας ἄρα τοῦ Θεοῦ ἐστὶν ἡ ψυχή. Τί δήποτε τὸν παράδεισον ἐνεφύτευσεν ὁ Θεὸς μέλλων εὐθὺς τὸν Ἀδὰμ διὰ τὴν ἁμαρτίαν ἐξορίζειν ἐκεῖθεν. Τινὲς ἐν οὐρανῷ φασὶ τὸν παράδεισον εἶναι. Τὸ ξύλον τῆς ζωῆς, καὶ τὸ ξύλον τοῦ εἰδέναι γνωστὸν καλοῦ καὶ πονηροῦ, νοητὰ χρὴ λέγειν ἢ αἰσθητά. Οὐκοῦν εἶχον τὴν γνῶσιν τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ πρὸ τῆς τοῦ ἀπειρημένου καρποῦ μεταλήψεως. Πῶς οὖν μετὰ τὴν βρῶσιν ἔγνωσαν ὅτι γύμνοι ἦσαν, πρὸ γὰρ τῆς βρώσεως ταύτην οὐκ εἶχον τὴν αἴσθησιν. Πῶς ἐκ τοῦ παραδείσου φησὶν ὁ Μωσῆς τὸν Τίγρην ἐξίεναι καὶ τὸν Εὐφράτην, οὓς φασί τινες ἐκ τῶν ὀρῶν ἀναβλύζειν τῆς Ἀρμενίας. Τί δήποτε ἀπὸ τῆς πλευρᾶς τοῦ Ἀδὰμ τὴν γυναῖκα διέπλασεν. Εἰ φρόνιμος ὁ ὄφις, καὶ ἐπαινούμενος, μόριον γὰρ ἡ φρόνησις ἀρετῆς. Ἄλογος ὢν ὁ ὄφις, πῶς διηλέχθη τῇ Εὔᾳ. Τί ἐστι, διηνοίχθησαν οἱ ὀφθαλμοὶ τῶν δύο. Τί δήποτε τοῦ διαβόλου τὴν ἀπάτην προσενεγκόντος, ὁ ὄφις κολάζεται. Διατί δὲ τὸν ὄφιν ἐδημιούργησεν ὁ Θεὸς ὄργανον αὐτὸν προειδὼς τῆς πονηρίας ἐσόμενον. Διατὶ δὲ τὸν διάβολον ἐποιήσομεν ὁ Θεὸς, εἰδὼς τοιοῦτον ἐσόμενον. Ἀγαθὸν τὸν Θεὸν ὀνομάζοντες, πῶς αὐτῷ περιάπτετε τοσαύτην ἀποτομίαν ὠμότητος γὰρ καὶ ἀπηνείας τὸ διὰ βρῶσιν ὀλίγην τοσαύτην ἐπενεγκεῖν τιμωρίαν οὐ τοῖς ἡμαρτηκόσι μόνον, ἀλλὰ καὶ τοῖς ἐξ ἐκείνων βεβλαστηκόσι. Τίνος ἕνεκα τοῦ

Θεοῦ εἰρηκότος ᾗ δ' ἂν ἡμέρᾳ φάγῃ ἀπὸ τοῦ ξύλου θανάτῳ ἀποθανῇ οὐκ εὐθὺς ἀπέθανε τὴν ἐντολὴν παραβάς. Τοὺς χιτῶνας τοὺς δερματίνους τί νοητέον. Τί ἐστι τὸ, ἴδου γέγονεν Ἀδὰμ ὡς εἷς ἐξ ἡμῶν. Τί ἐλυπήθη Καῒν μὴ δεχθέντων τῶν παρ' αὐτοῦ προσενεχθέντων, δῆλον ὅτι μετεμελήθη τῶν γὰρ μεταμελουμένων ἡ λύπη. Ποῖον σημεῖον ἔθετο τῷ Καῒν ὁ Θεός. Τίνα ὁ Καῒν ἔσχε γυναῖκα. Τίνας ἀνεῖλεν ὁ Λάμεχ. Ποῦ μετατέθεικε τὸν Ἐνὼχ ὁ τῶν ὅλων Θεός. Τί δὴ τοῦ Ἀδὰμ ἡμαρτηκότος Ἄβελ ὁ δίκαιος ἐτελεύτησε πρῶτος. Τίνας υἱοὺς τοῦ Θεοῦ κέκληκεν ὁ Μωϋσῆς. Τίνας καλεῖ γίγαντας ἡ θεία γραφή. Διατί πολὺν χρόνον ἔζων οἱ παλαιοί. Τί δήποτε τῷ κατακλυσμῷ τὰ τῶν ἀνθρώπων πλήθη διέφθειρε. Τί ἤσθιεν ἐν τῇ κιβωτῷ τὰ θηρία. Πῶς νοητέον τὸ, ἐμνήσθη Κύριος τοῦ Νῶε. Τί ἐστιν ὠσφράνθη Κύριος ὀσμὴν εὐωδίας. Τίνος χάριν ἀπαγορεύει τοῦ αἵματος τὴν μεταβολήν. Διατί δὲ ὅλως τὴν κρεωφαγίαν ἐνομοθέτησε. Τίνος ἕνεκα μὴ ἐπέμφθη Νῶε μέθῃ περιπεσών. Τοῦ νόμου μηδέπω τεθέντος, ὃς διαγορεύει τιμᾶν τὸν πατέρα καὶ τὴν μητέρα, πῶς ὁ Χὰμ, ὡς πατραλοίας κρίνεται. Τί δήποτε εἰποῦσα ἡ γραφὴ, καὶ ἦσαν οἱ υἱοὶ Νῶε ἐξερχόμενοι ἀπὸ τῆς κιβωτοῦ Σὴμ, Χὰμ, Ἰάφεθ, προσέθηκε καὶ Χὰμ αὐτὸς πατὴρ Χαναὰν, εἰ γὰρ ἐχρῆν μνημονεῦσαι τῶν υἱῶν, ἔδει πάντων καὶ μὴ μόνου Χαναὰν, ὁ Χαναὰν καὶ αὐτὸς ἀσεβὴς ἐγένετο, ὡς ἡ ἱστορία δηλοῖ. Τί δήποτε τοῦ Χὰμ ἐπταικότος, ὁ ἐκείνου παῖς ἐδέξατο τὴν ἀράν. Τὴν ἄσφαλτον τινὲς τῶν διδασκάλων ἔφασαν ἄσβεστον εἶναι. Ποῖα γλῶσσα ἀρχαιοτέρα. Ἡ οὖν ἑβραῖα πόθεν ἤρξατο. Τίνες φασὶ τῇ Σάῤῥᾳ μιγῆναι τὸν Φαραώ. Καὶ τίνος ἕνεκεν ἐνταῦθα μὲν ἐσίγησεν ἡ γραφὴ τὸ φυλαχθῆναι τὴν Σάῤῥαν ἀλώβητον, ἐν δὲ τῷ κατὰ τὸν Ἀβιμέλεχ διηγήματι, σαφῶς τοῦτο δεδήλωκεν. Ὁ Μελχισεδὲκ πόθεν κατῆγε τὸ γένος. Πῶς Ἁβραὰμ πιστὸς ὀνομάζεται εἰρηκὼς τῷ Θεῷ κατὰ τί γνώσομαι τοῦτο, ὅτι κληρονομήσω αὐτήν. Διατί δὲ τυθῆναι προσέταξε δάμαλιν τριετίζοντα, καὶ κριὸν τριετίζοντα, καὶ τὰ ἑξῆς. Πολλοὶ τῶν ἀκολάστων ἀφορμὴν εἰς λαγνείαν λαμβάνουσι τὸν πατριάρχην Ἁβραὰμ πολλακὴν ἐσχηκότα. Τί δήποτε περιτμηθῆναι αὐτὸν προσέταξεν ὁ

Θεός. Ἡ θεία λέγει γραφὴ ὅτι ἔφαγον οἱ ἄγγελοι ἐν τῇ σκηνῇ τοῦ Ἀβραάμ. Διατί ὁ Λὼτ οὐκ ἐνεκλήθη ταῖς θυγατράσι μιγείς. Τί δήποτε ὁ Θεὸς οὐκ ἐκώλυσε τὴν παράνομον μίξιν. Ὠμὸν ἄγαν εἶναι δοκεῖ τὸ νέον ὄντα τὸν Ἰσμαὴλ ἐξελθεῖν τῆς πατρικῆς οἰκίας μετὰ μονῆς τῆς μητρὸς, καὶ τοῦ ἀσκοῦ τοῦ ὕδατος. Εἰ πάντα ὁ Θεὸς προγινώσκει, τίνος ἕνεκα τὸν Ἀβραὰμ ἐπείρασεν. Τί ἐστι, θὲς τὴν χεῖρα σου ὑπὸ τὸν μηρόν μου. Διατί τῶν πατριαρχῶν αἱ γυναῖκες σεῖραι, καὶ γὰρ Σάῤῥα σεῖρα καὶ ἡ Ῥεβέκκα, ὡσαύτως καὶ ἡ Ῥαχιὴλ, καὶ μέντοι καὶ ἡ Λεῖα, ἰδὼν γάρ φησι Κύριος ὅτι μισεῖται ἡ Λεῖα, ἤνοιξεν αὐτῆς τὴν μήτραν. Διὰ τίνος μαθεῖν ἠθέλησεν ἡ Ῥεβέκκα τὰ περὶ τῶν κυοφορουμένων παιδίων (1). Τίνος ἕνεκεν ὁ Ἰσαὰκ τῷ Ἠσαῦ δοῦναι τὴν εὐλογίαν ἠβούλετο. Πόθεν ἡ Ῥεβέκκα τεθάῤῥηκεν, ὅτι τεύξεται τῆς εὐλογίας ὁ Ἰακὼβ, καὶ οὕτω τεθάῤῥηκεν ὡς εἰπεῖν ἐπ' ἐμὲ ἡ κατάρα σου τέκνον, μόνον ἐπάκουσον τῆς φωνῆς μου. Τί δήποτε τῷ Ἰσαὰκ τὸ βούλημα τὸ οἰκεῖον οὐκ ἀπεκάλυψεν ὁ Θεός. Εἶτα οὐ δοκεῖ ψεύδεσθαι ὁ Ἰακὼβ εἰπὼν, ἐγώ εἰμι Ἠσαῦ ὁ πρωτότοκός σου. Τίς δὲ τῆς εὐλογίας ἡ ἑρμηνεία. Τί δήποτε τοσαύτας εὐλογίας λαβὼν ὁ Ἰακὼβ, ἀποδιδράσκει τὸν ἀδελφὸν, καὶ μόνος ἀποδημεῖ τῶν ἀναγκαίων ἐστερημένος. Διατί τὸν λίθον ἀλείφει ὁ Ἰακώβ. Πολλοὶ πρόφασιν ἀκολασίας ποιοῦνται τὸ τέτταρας ἐσχηκέναι γυναῖκας τὸν Ἰακώβ. Τίνος χάριν αἱ γυναῖκες ἐζηλοτύπουν ἀλλήλαις. Διατί ἡ γραφὴ μέμνηται τύχης. Ἀλλὰ καὶ αὐτὸς ὁ Ἰακὼβ ἔφη τῷ Λάβαν, εὐλόγησέ σε Κύριος ἐπὶ τῷ ποδίμου. Τίνος ἕνεκεν τὰς ῥάβδους λεπίσας πίνουσιν ἔθηκε τοῖς προβάτοις. Τίς σκοπὸς τῆς τῶν εἰδώλων κλοπῆς. Τί ἐστιν ὤμοσεν Ἰακὼβ κατὰ τοῦ φόβου τοῦ πατρὸς αὐτοῦ Ἰσαάκ. Τίνος ἕνεκεν παλαίει τῷ Ἰακὼβ ὁ ἄγγελος. Ὁ Ἰὼβ πόθεν κατάγει τὸ γένος. Διατί ἐφθόνησαν τῷ Ἰωσὴφ οἱ ἀδελφοὶ αὐτοῦ. Τί δήποτε ἡ Θάμαρ ἑταιρικὸν σχῆμα περιθεμένη, τὸν κηδεστὴν ἐξηπάτησε. Τίνος ἦν μήνυμα τὸ κατὰ τὸν εὐσέβειαν εἰρηκέναι τὸ ἠυτύχηκα, πῶς ὁ ἱστοριογράφος τὰ κατὰ τὸν Ἰωσὴφ συγγράφων,

(1) Add. marg. : *Deest quæstio una.*

εἶπε τὸ, ἦν ἀνὴρ ἐπιτυγχάνων. Πῶς εὐνοῦχος ὢν ὁ ἀρχιμάγειρος γυναῖκα εἶχε. Τίνος ἕνεκεν χρόνου τοσούτου διεληλυθότος, οὔτε Ἰωσὴφ τῷ πατρὶ τὴν δουλείαν ἐγνώρισεν, οὔτε ὁ Θεὸς δι' ἀποκαλύψεως ἐδήλωσε τοῦτο τῷ Ἰακώϐ. Οὐκοῦν οὐκ ἐξήμαρτον οἱ ἀδελφοὶ οἰκονομίᾳ γὰρ ὑπούργησαν θείᾳ. Τίνος χάριν εὐθὺς ὀφθεῖσι τοῖς ἀδελφοῖς ὠμότερον προσηνέχθη. Τίνα ἑρμηνείαν ἔχει τὸ ψομ, θομ, φανεχ. Τίνος ἕνεκεν τὸν δεύτερον, καὶ οὐ τὸν πρῶτον τῶν ἀδελφῶν καθειρχθῆναι προσέταξε. Διατί τῷ Ῥουϐὶν οὐκ ἐθάῤῥησε τὸν Βενιαμὴν ὁ πατήρ. Τί ἐστιν οἰωνισμῷ οἰωνίζει ἐν αὐτῷ. Τί δήποτε τὸ κατὰ τὸ κόνδυ κατεσκεύασε δράμα. Τί δήποτε καὶ τὰ κτήνη τῶν Αἰγυπτίων καὶ τὴν γῆν προσεπόρισε τῷ βασιλεῖ Φαραώ. Διατί ὁ Ἰακὼϐ τὸ σῶμα αὐτοῦ εἰς τὴν Χεϐρὼν κελεύει ταφῆναι. Τί ἐστι προσεκύνησεν Ἰσραὴλ ἐπὶ τὸ ἄκρον τῆς ῥάϐδου αὐτοῦ. Πῶς εὐλογῆσαι λέγεται τοὺς παῖδας ὁ Ἰακὼϐ ἐνίοις ἐπαρασάμενος.

Εἰς τὴν Ἔξοδον.

Πῶς νοητέον τὸ χυδαῖοι ἐγένοντο. Τί ἐστιν ἐπειδὴ ἐφοϐοῦντο αἱ μαῖαι τὸν Θεὸν ἐποίησαν ἑαυταῖς οἰκίας. Πόθεν ἔγνω τοῦ Φαραὼ ἡ θυγάτηρ, ὅτι Ἑϐραῖον ἦν τὸ παιδίον. Διατί ἀλλόφυλον γυναῖκα ἔγημεν ὁ Μωϋσῆς. Τινὲς φασὶν ἄγγελον ὀφθῆναι τῷ Μωϋσῇ ἐν τῇ βάτῳ. Τί δηλοῖ τὸ τὴν βάτον καίεσθαι καὶ μὴ κατακαίεσθαι. Διατί προσετάχθη ὁ Μωϋσῆς τὸ ὑπόδημα λῦσαι. Προειδὼς ὁ Θεὸς τοῦ Φαραὼ τὸ δυσπειθὲς τί δήποτε μὴ ἐξαρχῆς αὐτὸν ἐκόλασε. Διατί πρῶτον σημεῖον δέδωκε τῆς ῥάϐδου τὴν εἰς ὄφιν μεταϐολήν. Ἡ λέπρωσις τῆς χειρὸς τί δηλοῖ. Ὑπουργῷ κεχρημένος Μωϋσῇ τῶν ὅλων ὁ Κύριος τί δήποτε ἰσχνόφωνον αὐτόν διέπλασε καὶ βραδύγλωσσον. Τὸ ἐγὼ σκληρυνῶ τὴν καρδίαν Φαραὼ πθῖ νοητέον. Διατί δὲ συνεχώρησεν ὁ Θεὸς ταῦτα παθεῖν τὸν λαόν. Διατί ἠϐουλήθη ὁ ἄγγελος ἀνελεῖν τὸν Μωϋσῆν. Τί ἐστι καὶ τὸ ὄνομά μου οὐκ ἐδήλωσα αὐτοῖς. Τί δήποτε τῆς τοῦ Ἀαρὼν γυναικὸς οὐ τὸν πατέρα μόνον, ἀλλὰ καὶ τὸν ἀδελφὸν δῆλον ἡμῖν πεποίηκε. Πῶς ἐγένετο τοῦ Φαραὼ Θεὸς ὁ Μωϋσῆς. Τί δήποτε συνεχώρησεν ὁ Θεὸς τοῖς φαρμάκοις ταῦτα δρᾶσαι τῷ Μωϋσῇ. Τί δήποτε πρώτην αὐτὴν τὴν τοῦ ὕδατος ἐπήγαγε πληγήν. Εἰ ὅλον τὸ ὕδωρ

εἰς αἷμα μετεβλήθη, πῶς ἐποίησαν οἱ ἐπαοιδοὶ τῶν Αἰγυπτίων τοῖς φαρμακείαις αὐτῷ ὡσαύτως. Τί δήποτε μέλλων ἐπιφέρειν τὸν χάλαζαν παρηγγύησεν αὐτοῖς εἰς τοὺς οἴκους τὰ κτήνη συναγαγεῖν. Διατί τὰ τῶν Αἰγυπτίων ἀνεῖλε πρωτότοκα. Αἰτιῶνταί τινες τὸ προστεταχέναι τὸν Θεὸν τοῖς Ἑβραίοις αἰτῆσαι τοὺς Αἰγυπτίους σκεύη χρυσᾶ καὶ ἀργυρᾶ, καὶ ἐσθῆτας, καὶ σκυλεῦσαι τοὺς Αἰγυπτίους, οὕτω γὰρ ὁ Σύμμαχος τὸ σκευάσασθαι ἡρμήνευσε. Διατί φεύγουσιν ἐπιτελέσαι προσέταξε τὴν τοῦ Πάσχα ἑορτήν. Τινές φασὶν εἰς δώδεκα διαιρέσεις διαιρεθῆναι τὴν θάλασσαν καὶ ἑκάστην φυλὴν καθ' ἑαυτὴν διαβῆναι, καὶ τοῦτο νομίζουσι τὸν μακάριον εἰρηκέναι Δαυὶδ τῷ καταδιελόντι τὴν Ἐρυθρὰν θάλασσαν εἰς διερέσεις. Ποῖον τὸ ξύλον τὸ γλυκάναν ἐν τῇ μέῤῥᾳ τὸ ὕδωρ. Πῶς νοητέον τὸ ὑπὸ τοῦ ἀποστόλου εἰρημένον πάντες εἰς τὸν Μωϋσῆν ἐβαπτίσθησαν ἐν τῇ νεφέλῃ καὶ ἐν τῇ θαλάσσῃ, καὶ πάντες τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον καὶ πάντες τὸ αὐτὸ πόμα πνευματικὸν ἔπιον, ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας, ἡ δὲ πέτρα ἦν ὁ Χριστός. Διατί πέτρα ὁ Χριστὸς ὠνομάσθη. Διατί ἄρτον ἀγγέλων τὸ μάννα προσηγόρευσεν ὁ προφήτης. Διατί μάννα ἐκλήθη. Διατί τὸ καταλειφθὲν εἰς τὴν ὑστεραίαν τοῦ μάννα διεφθάρη. Διατί ἐν τοῖς σάββασιν οὐ παρέσχε τὸ μάννα. Ποίοις ὅπλοις ἐχρῶντο τῷ Ἀμαλὴκ πολεμοῦντες. Διατί τῶν Μωϋσῆ χειρῶν ἐκτεταμένων, ἐνίκα Ἰσραὴλ, καθιεμένων δὲ ἡττᾶτο. Τί ἐστιν ἔσεσθέ μοι λαὸς περιούσιος ἀπὸ πάντων τῶν ἐθνῶν, ἐμὴ γάρ ἐστι πᾶσα ἡ γῆ. Τί δήποτε οὐ μόνον ἀγνισθῆναι, ἄλλα καὶ πλύναι τὰ ἱμάτια προσετάχθησαν, ἡνίκα τὸν νόμον ἐδέχοντο. Πῶς νοητέον τὸ, οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι πλὴν ἐμοῦ. Εἴδωλον καὶ ὁμοίωμα ποίαν ἔχει διαφοράν. Τί τὸ, ὁ Θεὸς ζηλωτής ἐστί. Πῶς τὸ δίκαιον σώζεται τῶν παίδων ὑπὲρ τῶν πατέρων κολαζομένων. Τί ἐστιν οὐ λήψῃ τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ σου ἐπὶ ματαίῳ. Διατί τὸ σάββατον τῇ ἀργείᾳ τετίμηκε. Καὶ διατί μὴ ἐν ἄλλῃ ἡμέρᾳ τοῦτο γενέσθαι προσέταξε. Τί ἐστιν, ἐὰν δὲ θυσιαστήριον ἐκ λίθων ποιήσῃς μοι, οὐκ οἰκοδομήσετε αὐτοὺς τμητοὺς, τῷ γὰρ ἐγχειριδίῳ ᾧ ἐπιβέβηκας ἐπ' αὐτῷ μεμίανται. Διατί τοῦ Ἑβραίου τοῦ τὴν ἐλευθερίαν δέξασθαι μὴ βουλομένου,

διατρηθῆναι τὸ ὠτίον προσέταξε. Διατί πρόσκειται καὶ δουλεύσει αὐτῷ εἰς τὸν αἰῶνα δήλης οὔσης τῆς ἀνθρωπίνης ζωῆς. Τὸν ἀκουσίως πεφονευκότα, διατί φεύγειν παρακελεύεται. Τί ἐστιν ἐξεικονισμένον. Διατί τὸν κερατιστὴν ταῦρον ἀναιρεῖσθαι κελεύει. Διατί ὁ μόσχον κεκλοφὼς πενταπλάσια ἐκτείνειν ἐκελεύσθη, ὁ δὲ πρόβατον τετραπλάσια. Πῶς νοητέον τὸ, θεοὺς οὐ κακολογήσεις. Τίνος ἕνεκεν θηριάλωτα κρέα ἐσθίειν ἀπαγορεύει. Τί ἐστὶν, οὐκ ὀφθήσῃ ἐνώπιον Κυρίου Θεοῦ σου κενός. Ποῖα ἐστὶν ἑορτὴ ἡ τοῦ θερισμοῦ τῶν πρωτογενημάτων, καὶ ποία ἑορτὴ συντελείας ἐπ' ἐξόδῳ τοῦ ἐνιαυτοῦ. Τί ἐστιν, οὐ θύσεις ἐπὶ ζύμῃ αἷμα θυσίασματός μου. Πῶς νοητέον τὸ, οὐχ ἑψήσεις ἄρνα ἐν γάλακτι μητρὸς αὐτοῦ. Πῶς νοητέον, τὸν ἀριθμὸν τῶν ἐτῶν σου ἀναπληρώσω. Τί ἐστιν ἀποστελῶ τὰς σφηκίας προτέρας σου. Πῶς ἐπαγγειλάμενος ὁ Θεὸς μέχρι τοῦ Εὐφράτου ποταμοῦ παραδώσειν αὐτοῖς τὴν γῆν οὐκ ἐπλήρωσε τὴν ὑπόσχεσιν. Τὴν σκηνὴν τί δήποτε γενέσθαι προσέταξεν. Διατί οἱ ἱερεῖς τοῖς ἱερείοις τᾶς χεῖρας ἐπιτιθέντες οὕτως ἱέρευον. Τί ἐστιν εἰς ὀσμὴν εὐωδίας, κάρπωμα ἐστὶ τῷ Κυρίῳ (1). Τί ἐστι τὸ ἶν. Περὶ τῶν σαββάτων νομοθέτων ἔφη, ἔστι γὰρ σημεῖον ἀναμέσον ἐμοῦ καὶ τῶν υἱῶν Ἰσραὴλ, εἰς τὰς γενεὰς ὑμῶν, πῶς οὖν τοῦτο νοήσομεν. Τί δήποτε ὁ Ἀαρὼν τῷ λαῷ τὸν μόσχον διέγλυψε. Πῶς νοητέον τὸ, καὶ νῦν ἔασόν με καὶ θυμωθεὶς ὀργῇ εἰς αὐτοὺς ἐκτρίψω αὐτοὺς καὶ ποιήσω σε εἰς ἔθνος μέγα. Διατί τὰς πλάκας συνέτριψε. Τί σημαίνει τὸ κάλυμμα τὸ ἐπιτεθὲν τῷ προσώπῳ τοῦ νομοθέτου. Πόθεν εἶχον τὰ ξύλα τὰ ἄσηπτα. Ποίου χαρίσματος οἱ περὶ τὸν Βεσελεὴλ ἔτυχον. Διατί τῇ νουμηνίᾳ τοῦ πρώτου μηνὸς στῆσαι τὴν σκηνὴν προσέταξεν ὁ Θεός.

Εἰς τὸ Λευιτικόν.

Τίνος ἕνεκεν τὰς θυσίας προσέταξε προσφέρεσθαι ὁ Θεός. Τί ἐστι ψυχὴ ἡ ἐὰν λάθῃ αὐτὴν λήθῃ καὶ ἁμάρτῃ ἀκουσίως ἀπὸ τῶν ἁγίων Κυρίου. Διατί τοῦ ἱερέως τὴν θυσίαν ὁλοκαυτοῦσθαι προσέταξε. Διατί ἐν τῷ τόπῳ τῶν ὁλοκαυτω-

(1) Add. marg. : *Deest una.*

μάτων καὶ τὰς περὶ ἁμαρτίας θυσίας ἱέρευον. Τί ἐστιν, ὁ ἁπτόμενος τῶν κρεῶν αὐτῶν ἁγιασθήσεται. Διατί μετὰ τὴν τρίτην ἡμέραν οὐ κελεύει τῶν ἱερῶν ἐσθίειν, τῷ δὲ παραβαίνοντι τὸν νόμον ἐπιφέρει ζημίαν ἄθυτον εἶναι λέγων τὴν θυσίαν ἐκείνην (1). Διατί αἵματι καὶ ἐλαίῳ καὶ τὴν ἀκοὴν τοῦ ἱερέως τὴν δεξιὰν ἔχριε, καὶ τὴν χεῖρα τὴν δεξιάν, καὶ τὸν πόδα ὡσαύτως. Πῶς νοητέον τὸ πῦρ τὸ ἀλλότριον. Διατί τοὺς ἱερέας οἴνου κωλύει μεταλαμβάνειν. Τί σημαίνει τὸ διχηλοῦν καὶ μηρυκόμενον (2). Διατί τὴν τεκοῦσαν ἄῤῥεν τεσσαράκοντα ἡμέρας ἀκάθαρτον εἶναι φησί, θῆλυ δὲ δὶς τοσαύτας. Τί βούλεται ὁ περὶ τῆς λέπρας νόμος. Διατί τὸν ὅλον λεπρὸν γενόμενον, καθαρὸν ὀνομάζει. Διατί τοῦ λεπροῦ ἀκάλυπτον εἶναι κελεύει τὴν κεφαλήν. Πῶς ἐν τοῖς ἱματίοις λέπρα ἐγένετο. Τί σημαίνει τὰ δύο ὀρνίθια τὰ ὑπὲρ τοῦ καθαριζομένου προσφερόμενα. Διατί τὸν γονοῤῥοιῆ ἀκαθαρτὸν ὀνομάζει. Διατί τὴν τὸ περιττὸν τοῦ αἵματος κατὰ φύσιν ἐκκρίνουσαν, ἀνάθαρτον ὀνομάζει (3). Τίνες μέμφονται ταῖς περὶ τὸν γάμον νομοθεσίαις, λέγοντες ἀπαγορεῦσαι τὸν Θεὸν τὰ μηδαμῆ μηδαμῶς γεγενημένα, τίς γάρ φασιν ἠνέσχετο τῇ ἑαυτοῦ μιγῆναι μητρὶ ἢ τίς ποτὲ συνεγένετο κτήνει. Τί ἐστιν, ἀπὸ τοῦ σπέρματός σου οὐ δώσεις λατρεύειν ἄρχοντι, καὶ οὐ βεβηλώσεις τὸ ὄνομά μου τὸ ἅγιον λέγει Κύριος (2). Πῶς νοητέον, τὰ κτήνη σου οὐκ ἀποχεύσεις ἑτέρῳ ζυγῷ, καὶ ἀμπελῶνα σου οὐ κατασπερεῖς διάφορον, καὶ ἱμάτιον ἐκ δύο ὑφασμένον κίβδηλον οὐκ ἐπιβαλεῖς ἑαυτῷ. Τί ἐστιν, οὐ ποιήσετε σισώην τῆς κόμης τῆς κεφαλῆς ὑμῶν, φθειριεῖτε τὴν ὄψιν τοῦ πώγωνος ὑμῶν, καὶ ἐντομίδας ἐπὶ ψυχῇ, οὐ ποιήσετε τῷ σώματι ὑμῶν, καὶ γράμματα στικτὰ οὐ ποιήσετε ἐν ὑμῖν (4). Τίνος χάριν τοῖς ἱερεῦσι διαφερόντως περὶ τὸν γαμὸν νομοθετεῖ. Διατί τὰ πρωτότοκα τῶν θρεμμάτων μετὰ τὴν ὀγδόην ἡμέραν προσφέρεσθαι διηγόρευσεν. Τί ἐστί, πεφρυγμένα νέα χίδρα οὐ φάγεσθε ἕως ἂν προσενέγ-

(1) Add. marg. : *Deest una.*
(2) Add. marg. : *Desunt duæ.*
(3) Add. marg. : *Desunt duæ.*
(4) Add. marg. : *Deest una.*

κητε ὑμεῖς τὰ δῶρα τῷ Θεῷ ὑμῶν. Πῶς νοητέον τὸ, ὃς ἂν καταράσηται Θεὸν, ἁμαρτίαν λήψεται, ὀνομάζων δὲ τὸ ὄνομα Κυρίου, θανάτῳ θανατούσθω. Διατί ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ ἐκκόπτεσθαι καὶ ὀδόντα ἀντὶ ὀδόντος, καὶ ὅσα τοιαῦτα προσέταξεν. Διατί τῷ ἑβδόμῳ ἔτει σπεῖραι τὴν γῆν ἀπαγορεύει. Τί ἐστι πέψουσι δέκα γυναῖκες τοὺς ἄρτους αὐτῶν ἐκ λιβάνων (1). Τί ἐστιν ὃς ἂν εὔξηται εὐχὴν, ὥστε δοῦναι τιμὴν τῆς εὐχῆς αὐτοῦ τῷ Κυρίῳ.

Εἰς τοὺς Ἀριθμούς.

Διατί προσέταξεν ἀριθμῆναι τὸν λαὸν ὁ Θεός. Διατί ἐλλάττων ἐστὶν ὁ τῶν λευϊτῶν ἀριθμός. Πῶς οὖν ἡ τοῦ Ἰούδα φυλὴ ὑπερέβαλε πάσας τὸν ἀριθμὸν καίτοι οὖσα βασιλική. Τίνα ἦν τὰ ἔργα τῶν ἱερέων καὶ τίνα τὰ τῶν λευϊτῶν. Τίνος ἕνεκεν προσέταξεν ὁ Θεὸς ἀριθμηθῆναι τοῦ λαοῦ τὰ πρωτότοκα (2). Τίνα καλεῖ ἀκάθαρτον ἐπὶ ψυχῇ. Καὶ τί δήποτε καὶ τοὺς λεπροὺς καὶ τοὺς γονοῤῥοιεῖς ἔξω τῆς παρεμβολῆς διάγειν ἐκέλευσεν. Τί ἐστιν ἀνὴρ ἢ γυνὴ, εἴ τις ποιήσοι ἀπὸ πασῶν τῶν ἁμαρτιῶν τῶν ἀνθρωπίνων. Διατί ἄλευρον κρίθινον ὑπὸ τῆς ὑποπτευομένης μοιχευθῆναι προσεκομίζετο. Τί ἐστιν, ὃς ἂν μεγάλως εὔξηται εὐχὴν ἀφαγνίσασθαι ἁγνείαν τῷ Κυρίῳ (3). Διατί μετὰ πέμπτον καὶ εἰκοστὸν ἔτος μέχρι τοῦ πεντηκοστοῦ, λειτουργεῖν τοὺς λευίτας κελεύει (1). Πῶς νοητέον τὸ, σημασία σαλπιεῖτε ἐν τῇ ἐξάρξει ὑμῶν, καὶ ὅταν συναγάγητε τὴν συναγωγὴν σαλπιεῖτε καὶ οὐ σημασία (4). Τίνος χάριν εὐθὺς μὲν προβληθέντες οἱ ἑβδομήκοντα προεφήτευον, μετὰ δὲ ταῦτα οὐκέτι (1). Τίνα χρὴ νοῆσαι τὴν αἰθιόπισσαν γυναῖκα ἣν ἔλαβε Μωϋσῆς. Τί δήποτε τῶν δύο λελοιδορηκότων ἐκείνη δίκας ἔτισε μόνη (1). Τί δήποτε τὸν Ναυῆ ἡνίκα κατάσκοπον ἔπεμπεν ὁ Μωϋσῆς, Ἰησοῦν ἐκάλεσεν. Τίνα λέγει γενεὰν Ἐνάκ. Τί ἐστιν ἐμπλήσει ἡ δόξα Κυρίου πᾶσαν τὴν γῆν (5). Τί δήποτε περὶ τῶν αὐτῶν θυσιῶν πολλὰ νενομοθέτηκεν. Τί ἐστι, ψυχὴ ἥτις ποιήσει

(1) Add. marg. : *Deest una;* et corr. ἐκ λιβάνων in ἐν κλιβάνῳ.
(2) Add. marg. : *Deest una.*
(3) Add. marg. : *Deest una.*
(4) Add. marg. : *Desunt quatuor.*
(5) Add. marg. : *Deest una.*

ἐν χειρὶ ὑπερηφάνιαν. Διατί τὸν ἐν τῷ σαββάτῳ συλλέξαντα ξύλα καταλευσθῆναι προσέταξε. Τί δήποτε προσέταξεν αὐτοῖς ὁ Θεὸς τοῖς κρασπέδοις τῶν ἱματίων κλῶσμα ὑακίνθινον ἐπιθεῖναι (1). Διατί προσέταξεν ὁ Θεὸς τὰ τῶν θυσιαστῶν πυρεῖα τῷ θυσιαστηρίῳ γενέσθαι περίθεμα. Πῶς νοητέον τὰ περὶ τῆς πυῤῥᾶς δαμάλεως διηγορευμένης (1). Τί δήποτε ὀργίσθη τῷ Μωϋσῇ καὶ τῷ Ἀαρὼν ὁ δεσπότης Θεὸς ἡνίκα τὸ ὕδωρ ἐκ τῆς πέτρας ἐξήγαγεν. Τί δήποτε διὰ τοῦ χαλκοῦ ὄφεως θεραπεύεσθαι προσέταξεν ὁ Θεὸς τὰ τῶν ὄφεων δήγματα. Εἰ μάντις ἦν ὁ Βαλαάμ, τί δήποτε τὸν Κυρίον ἠρώτα. Τίνος χάριν κελεύσας αὐτῷ μὴ ἀπελθεῖν πάλιν ἐκέλευσεν ἀπελθεῖν. Διατί κελεύσας ἀπελθεῖν, διὰ τοῦ ἀγγέλου τὴν πορείαν κωλύει. Καὶ ποίαν ἰσχὺν εἶχεν ἡ τοῦ μάντεως ἀρὰ μὴ βουλομένου Θεοῦ. Τί ἐστιν, ὡς δόξαν μονοκέρωτος αὐτῷ (2). Τί δήποτε μαρτυρήσας ὁ δεσπότης Θεὸς τῷ Ἰησοῦ ὅτι ἔχει πνεῦμα Θεοῦ ἐν αὐτῷ προσέταξε Μωϋσῇ ἐπιθεῖναι αὐτῷ τὰς χεῖρας (3). Τί δήποτε τῷ ἀκουσίως πεφονευκότι, μετὰ τὴν τοῦ ἀρχιερέως τελευτὴν, ὁρίζει τὴν κάθοδον. Τίνος χάριν τὰς φυλὰς διακεκρεῖσθαι προσέταξε.

Εἰς τὸ Δευτερονόμιον.

Διατί τὸ πέμπτον βιβλίον τοῦ νομοθέτου Δευτερονόμιον ἐκλήθη. Πῶς νοητέον τὸ, ἄκουε Ἰσραὴλ Κύριος ὁ Θεός σου εἷς ἐστι. Τί ἐστι τὸ, ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου. Τί δήποτε καὶ τοῦ Θεοῦ ὀμνύναι διαγορεύει ὁ νόμος. Πῶς νοητέον τὸ, οὐκ ἐκπειράσεις Κύριον τὸν Θεόν σου. Τί δήποτε ἀπαγορεύει ὁ νόμος τὰς πρὸς τὰς ὁμόρους ἀλλοφύλους ἐπιγαμβρίας. Τίνας λέγει υἱοὺς Ἐνάκ. Πῶς νοητέον, ὁ γὰρ Κύριος ὁ Θεὸς ὑμῶν οὗτος θεὸς τῶν θεῶν καὶ κύριος τῶν κυρίων. Πῶς νοητέον, οὐ ποιήσετε πάντα ἃ ἡμεῖς ποιοῦμεν ὧδε σήμερον, ἕκαστος τὸ ἀρεστὸν ἐναντίον αὐτοῦ. Τὰς δεκάτας τοῖς ἱερεῦσι νομοθετήσας, πῶς ἔφη, οὐ δυνήσῃ φαγεῖν ἐν ταῖς πόλεσί σου τὰ ἐπιδέκατα τοῦ σίτου σου,

(1) Add. marg. : *Desunt duæ.*
(2) Add. marg. : *Desunt tres.*
(3) Add. marg. : *Desunt duæ.*

καὶ τοῦ οἴνου σου, καὶ τοῦ ἐλαίου σου. Τί δήποτε συνεχῶς ἀπαγορεύει τὴν τοῦ αἵματος βρῶσιν. Ἐκ ποίας δυνάμεως ὁ τὰ ἐναντία διδάσκων προφήτης θαυματουργεῖ. Τί ἐστιν, οὐ φοβήσετε, καὶ οὐκ ἐπιθήσετε φαλάκρωμα ἀναμέσον τῶν ὀφθαλμῶν ὑμῶν ἐπὶ νεκρῷ. Διατί τὸ πεπρωμένον πρωτότοκον ἀπαγορεύει προσφέρειν (1). Τί ἐστι δικαίως τὸ δίκαιον διώξετε. Τί ἐστιν, ἐὰν ἀδυνατήσῃ ἀπὸ σοῦ ῥῆμα ἐν κρίσει ἀναμέσον αἵματος καὶ ἀναμέσον κρίσεως, καὶ ἀναμέσον ἀφῆς καὶ τὰ ἑξῆς. Τί δήποτε κελεύει τὸν ἄρχοντα ἵππους μὴ πληθύνειν. Διατί τὴν αἰχμάλωτον θρηνεῖν τοὺς οἰκείους κελεύει ῥητὸν ἡμερῶν ἀριθμὸν, εἶθ' οὕτως συναφθῆναι τῷ ταύτην ἀνδραποδίσαντι. Διατί κοινὴν εἶναι βούλεται τὴν τῶν γονέων κατηγορίαν κατὰ παιδὸς γιγνομένην. Τί δήποτε τὸν νεοττοὺς ὀρνιθῶν εὑρηκότα τούτους μὲν κελεύει λαβεῖν τοὺς δὲ γεγεννηκότας ἀφεῖναι. Τίνος χάριν στεφάνην τῷ δώματι γενέσθαι παρεκελεύσατο. Τί ἐστιν, οὐ κατασπερεῖς τὸν ἀμπελῶνα σου διάφορον, ἵνα μὴ ἁγιασθῇ τὸ γέννημα καὶ τὸ σπέρπα ὃ ἂν σπείρῃς μετὰ τοῦ γεννήματος τοῦ ἀμπελῶνος σου. Διατί τῷ μοιχῷ παραπλησίως κολάζεσθαι κελεύει τὸν φθείροντα ἄλλω μεμνηστευμένην. Διατί τὸν θλαδίαν καὶ τὸν ἐκτομίαν εἰσελθεῖν εἰς ἐκκλησίαν ἀπαγορεύει. Τί δήποτε τὴν πρὸς Μωαβίτας καὶ Ἀμμανίτας ἐπιμιξίαν κωλύει, οὐ κατὰ ῥητόν τινα χρόνον, ἀλλ' ἕως εἰς τὸν αἰῶνα (1). Τίνα ἐστὶ, τὰ ἐκπορεύομενα διὰ τῶν χειλέων σου φυλάξῃ. Τί δήποτε τοῦ Θεοῦ κελεύσαντος τεσσαράκοντα λαμβάνειν τὸν πλεμμελήσαντα παρὰ μίαν πληγὴν ἐπιφέρουσιν Ἰουδαῖοι. Τί ἐστιν οὐ φιμώσεις βοῦν ἀλλοῶντα. Τί δήποτε ὀπίλεσθαι κελεύει τὸν τοῦ ἄπαιδος ἀδελφοῦ τὴν γυναῖκα μὴ βουλόμενον γῆμαι. Διατί πανωλεθρία κελεύει παραδοῦναι τὸν Ἀμαλήκ. Τί δήποτε κατάραις αὐτοὺς καὶ εὐλογίαις ὑπέβαλε (2). Πῶς νοητέον τὸ, οὐκ ἔδωκε Κύριος ὁ Θεὸς ὑμῶν καρδίαν εἰδέναι, καὶ ὀφθαλμοὺς βλέπειν, καὶ ὦτα ἀκούειν, ἕως τῆς ἡμέρας ταύτης. Πῶς νοητέον τὸ, ἐάν τις ἀκούσῃ τὰ ῥήματα τῆς ἀρᾶς ταύτης, καὶ ἐπιφημίσηται ἐν τῇ καρδίᾳ αὐτοῦ λέγων

(1) Add. marg. : *Deest una.*
(2) Add. marg. : *Desunt duæ.*

ὁσιά μοι γένοιτο ὅτι ἐν τῇ ἀποπλανήσει τῆς καρδίας μου πορεύσομαι. Τί δήποτε μετὰ ἑπτὰ ἔτη προσέταξεν ὁ νομοθέτης ταύτην αὐτοῖς ἀναγνωσθῆναι τὴν βίβλον. Διατί τὸν οὐρανὸν καὶ τὴν γῆν διαμαρτύρεσθαι προσετάχθη. Πῶς νοητέον τὸ, ἐγὼ παραζηλώσω ὑμᾶς ἐπ' οὐκ ἔθνει, ἐπ' ἔθνει ἀσυνέτῳ παροργιῶ ὑμᾶς. Πῶς νοητέον τὸ, εὐφρανθήσεται ἔθνη μετὰ τοῦ λαοῦ αὐτοῦ καὶ ἐνισχυσάτωσαν αὐτοὺς πάντες ἄγγελοι Θεοῦ. Τί δήποτε διὰ σμικρὰν πλημμέλειαν πόῤῥωθεν ἰδεῖν ὁ Μωϋσῆς προσετάχθη τὴν γῆν, εἰσαγαγεῖν δὲ τὸν λαὸν ἐκωλύθη. Πῶς νοητέον τὰς τῶν φυλῶν εὐλογίας. Τίνος χάριν ἔσχατον ὄντα τέταρτον ἔταξε τὸν Βενιαμίν. Τί δήποτε τὸν Συμεὼν οὐκ εὐλόγησε.

Εἰς τὸν Ἰησοῦν τὸν Ναυῆ.

Τί δήποτε ὑποσχόμενος ὁ Θεὸς πάντα τόπον δώσειν αὐτοῖς, οὗ ἂν ἐπιβῶσι τῷ ἴχνει τῶν ποδῶν αὐτῶν, καὶ τὴν ἔρημον, καὶ τὸν ἀντιλίβανον ἕως τοῦ ποταμοῦ τοῦ μεγάλου Εὐφράτου, οὐκ ἐπλήρωσε τὴν ὑπόσχεσιν. Πῶς νοητέον τὸ, περιέτεμεν τοὺς υἱοὺς Ἰσραὴλ ἐκ δευτέρου. Διατί μαχαίραις αὐτοὺς πετρίναις περιτμηθῆναι προσέταξε. Τίνα νοητέον τὸν ἀρχιστράτηγον τῆς δυνάμεως Κυρίου (1). Τί δήποτε ἀλλόφυλος οὖσα ἡ Ῥαὰβ κατῴκισεν ἐν τοῖς υἱοῖς Ἰσραὴλ, ὡς ἱστορία διδάσκει. Τί ἐστιν, ἐν τῷ πρωτοτόκῳ αὐτοῦ θεμελιώσει αὐτὴν, καὶ ἐν τῷ ἐλαχίστῳ ἐπιθήσει τὰς πύλας αὐτοῦ. Τί δήποτε τοῦ Ἄχαρ κεκλοφότος, ἅπας ὁ λαὸς ἐπαιδεύθη. Διατί προσέταξεν ὁ Θεὸς προλοχῆσαι τὴν γαί. Τίνες ὠμότητα τοῦ προφήτου κατηγοροῦσιν ὅτι καὶ πάντας ἄρδην ἀνῄρει, καὶ τοὺς βασιλέας ἐσταύρου (2). Τί ἐστι τὸ, οὐχὶ αὐτὸ γέγραπται ἐπὶ βιβλίον τὸ εὑρεθέν (2). Διατί τοῖς μὲν Μωϋσῆς διανέμει τοὺς κλήρους τῆς γῆς, τοῖς δὲ Ἰησοῦς (2). Τίνος ἕνεκα τοῖς ἄλλοις διανείμας τὴν γῆν ὁ Ἰησοῦς, οὐκ ἀπένειμεν αὐτῷ κλῆρον, ἀλλὰ παρὰ τοῦ λαοῦ τὴν Θαμνασαχὰρ ἐκομίσατο. Τί δήποτε τοίς ἱερεῦσιν ἐν τῇ Ἰούδα φυλῇ, καὶ τῇ Βενιαμὶν, καὶ τῇ Συμεὼν τὰς πόλεις ἀπένειμεν. Τί δήποτε τὸν λίθον στήσας εἴρηκεν, ὁ λίθος οὗτος ἔσται ὑμῖν

(1) Add. marg. : *Desunt duæ.*
(2) Add. marg. : *Deest una.*

εἰς μαρτύριον, ὅτι οὗτος ἀκήκοε πάντα τὰ λεχθέντα παρὰ Κυρίου, ἃ ἐλάλησε πρὸς ὑμᾶς σήμερον.

Εἰς τοὺς Κριτάς.

Εἰ κατ' ἐκεῖνον τὸν καιρὸν ἀνάστατος Ἱερουσαλὴμ ἐγεγόνει, πῶς δεύτερον αὐτὴν βασιλεύων ὁ Δαυὶδ εἷλεν πολιορκίᾳ. Τί ἐστι δός μοι λύτρωσιν ὕδατος, καὶ λύτρωσιν μετεώρων, καὶ λύτρωσιν ταπεινῶν. Πόλιν φοινίκων ποίαν καλεῖ. Πῶς νοητέον τόδε τὸ χωρίον, ταῦτα τὰ ἔθνη ἀφῆκεν Ἰησοῦς ὥστε πειρᾶσαι ἐν αὐτοῖς τὸν Ἰσραὴλ πάντας τοὺς μὴ ἐγνωκότας, πάντας τοὺς πολεμίους Χαναάν, πλὴν διὰ τὰς γενεὰς τῶν υἱῶν Ἰσραὴλ, τοῦ διδάξαι αὐτοὺς πόλεμον, πλὴν οἱ ἔμπροσθεν αὐτῶν οὐκ ἔγνωσαν αὐτά. Τί δήποτε γυνὴ προφητεύει. Καὶ τὰ ἑξῆς.

Βιβλίον κδον.

Δημητρίου Λαμψακηνοῦ ἐξήγησις εἰς τὸν Διονύσιον τὸν περιηγητὴν, μετ' αὐτοῦ τοῦ κειμένου.

Βιβλίον κεον.

Μαξίμου τοῦ Πλανούδου γραμματική.

Βιβλίον κϛον.

Σχολία εἰς τρεῖς τραγωδίας τοῦ Αἰσχύλου, ἤγουν εἰς Προμηθέα δεσμώτην, εἰς Ἑπτὰ ἐπὶ Θήβαις, καὶ εἰς Πέρσας. Ἀποσημειώσεις εἰς τὴν Ὀδυσσείαν.

Ταῦτα Κωνσταντῖνος Παλαιόκαππος ὁ Κυδωνιάτης γέγραφεν ἐν Λευκετίᾳ τῶν Παρισίων.

INDEX

APPENDICE

DÉDICACES DE CONSTANTIN PALÆOCAPPA

I

Illustrissimo principi Carolo, cardinali Lotharingo S. (1).

Cum frater meus e patria ad me venisset, Cardinale et princeps illustrissime, librum hunc secum attulit, quem ego jam pridem Apteræ, quæ urbs est Cretensium, ex quodam exemplari vetustissimo descripseram, usque adeo vetustate carioso putrique ut vix legi posset, mihique non humano, sed Apollinis plane ad divinandum ingenio opus esset. Verum cum certo scirem volumen rarissimum esse, nec usquam gentium facile inveniri posse, neque laboris neque pecuniæ rationem ullam habui dummodo describendi exemplaris mihi copia esset. Imo vero tanto magis ne cui rei parcerem me adhortabatur animus ut ejusmodi librum mihi compararem quanto majore eum rerum varietate, quæ quidem homini christiano ex usu essent refertum esse viderem atque adeo esse veluti pharmacopolium omni remediorum et herbarum salubrium genere instructum,

(1) Ms. Suppl. grec 143, fol. 1-2 v°. *Recueil théologique.* — Les premiers et les derniers mots de cette épître ont été publiés par P. Pulch dans l'*Hermes*, 1882, p. 189.

ex quo quisque cum ad ægritudines præcavendas, tum ad jam ægros curandos sumere omnia queat. Eo etiam libentius mihi transcribendum putavi quod dignum esse judicarem, qui principi alicui christianæ religionis studioso, nec non magno antistiti, fideique nostræ defensori aliquando offerretur, quod sane mihi ex animi sententia contingit. Nulli enim alii hæ res antiquæ tamque raræ magis conveniunt quam tibi, Mecœnas illustrissime, quem nemo non liberalissimum, principem christianum, antistitem maximum, custodem ecclesiæ vigilantissimum prædicat idque ob tuas divinas virtutes, qui non modo omnibus naturæ, animi, fortunæ dotibus præstantissimus es, verum etiam in omne mortalium genus incredibili benignitate ac munificentia. Hunc igitur librum, princeps omnium humanissime principum, eo vultu accipe, quo soles omnia, quæ ad rei christianæ salutem pertinent, et quo facilius in posterum alios per quam raros ex locis abditissimis eruere possim me tibi commendatum habeas.

Tuæ amplitudinis observantissimus

Constantinus Palæocappa Cydonius.

Εἰς τὸν ἐπιφανέστατον καὶ αἰδεσιμώτατον Κάρολον, πανιερώτατον καρδινάλιν Λοταριγγίας, δεσπότε ἡμέτερον, Κωνσταντίνου Πἄλαιόκαππα.

Ἦν ἔθος ὠγύγιον δαναοῖς καὶ ἔθνεσιν ἄλλοις
Δωρεῖσθαι φιλικῶς πάντεσιν εὐγενέσιν.
Νῦν δὲ ὁ μὲν κρύσταλλον, ὁ δ' ἄργυρον; ὃς δὲ τοπάζους
Δωροῦν τ' εὐνοϊκῶς, οἷς ἄφενος τελέθει·
Δῶρον ἐγὼ δὲ, πανόλβιε; τιμαλφέστερον ἔμμεν
Πάντων ἡγοῦμαι τὸ ξύνεσιν παρέχον;
Ὁ; ψυχῶν ταμίαις μεγακυδέσιν ἀνδράσιν ἅδε,
Καὶ τοῖς μυστοπόλοις; Χριστοφόρον τε φίλον.

Καὶ ὁ φάος βιότου καὶ κόσμου ἔπλετο κρηπὶς,
Δῶρον ἀληθὲς ἔην τηλεκλυτοῖσι τόδε.
Ὡς τὸ παρὸν βιβλίον τελέθει, ὅπερ ἱερὰ κεύθει
Τῆς θεορημοσύνης δόγματα τῶν χαρίτων.
Δέλτος μέν γε δυσεύρετος οὖσα, τανῦν δ' ἀνέτειλεν
Ἑλλάδος ἐκ πυκινῆς, θεῖα κομιζομένη·
Ὅσσα γάρ ἐστι τριφεγγοῦς ἐξετάσαι περὶ θείης
Μαργαρυγῆς τριάδος, πάντα διηγέεται.
Ἡ δ' ὅτι ἄρτος ὁ θυόμενος τοῖς μυστοπόλοισι
Σῶμα τέλειον ἔνι υἱέος ἀθανάτου.
Καὶ ὡς δεῖ τιμᾶν ἁγίων ἰνδάλματα πάντων
Λατρείας ἐκτὸς, ἄλλα κατὰ σχεσίας·
Καὶ νεκύων ὕπερ εὔχεσθαι, ὀνίνησι γὰρ αὐτοὺς,
Καὶ ἃ φιλεῖ πίστις, δείκνυσιν ἀτρεκέα.
Τριχθὰ διαιρεῖται, τριάδος μυστήρια φαίνει,
Καὶ πολλῶν ἁγίων μαρτυρίας προσφέρει.
Νῦν διεπορθμεύθη Κρήτης μέγα κῦμα λιποῦσα,
Ἣν χεὶρ γράψεν ἐμὴ ἀπτέρα τῇ πόλει,
Ἔνθ' Ἑλικωνιάδεσσιν ἀγητῆς οὕνεκ' ἀοιδῆς,
Καὶ σειρῆσι μάχη ἔπλετο ἀμφοτέραις.
Σειρῆνες νικηθεῖσαι δ' ἀπέβαλλον ἔραζε
Τὰ πτερὰ τῶν ὤμων, κἄππεσον ἐς πέλαγος.
Σειρῆνες τὸ πάλαν πτερόεσσαι, νῦν δέ τε νῆκται
Βένθεσι ναίουσι τοῖς νεπόδεσσιν ἅμα.
Τοὕνεκ' ἐπωνυμίην πόλις Ἄπτερα ἔλλαχεν αὕτη,
Ὡς κεῖθι πτέρυγας βάλλον ἔραζε κόραι.
Κεῖθι μοι ἐγράφθη, νομίσαντ' ἄρχοντι μεγίστῳ
Ἀρχιερεῖ δοῦναι, ἢ βασιλεῖ στασίμῳ,
Ἢ θυσίας πέμποντι ἀναιμάκτους ἱερῆϊ
Πορφυρόεντι τινὶ χρώματι εὐσεβίης.
Ὄντως οὐκ ἀφαμαρτοεπῆς λόγος ἔπλεθ' Ὁμήρου.
Ἀλλ' ἀψευδὴς ἦν, ὡς ἐπὶ σοί γ' ἐφάνη
Ὡς μὲν ὁμοῖον ἄγει Θεὸς ἐς τὸν ὁμοῖον ἀνεῖλεν
Οὕτω μοι δοκέει καὶ ἐπὶ τοῖς ἑτέροις,
Καὶ γὰρ ὅμοι ἀταλάντοις καὶ ἔτι ἄξια πᾶσι
Τοῖς ἐπιτηδείοις ἡ νέμεσις παρέχει.
Εὐσεβέας γὰρ χρὴ τοῖς εὐσεβέεσσι παρεῖναι

Καὶ πιστοὺς πιστοῖς, νουνεχέας φρονίμοις.
Οὐ Θέμις οὖν ἄλλῳ τινὶ, ἢ σοι τοῦτο δοθῆναι
Τῷ καθαρῷ μύστῃ τῆς θεορημοσύνης.
Σοι ἀρετῆς ἐξάρχῳ, σοι τῷ εὔχεϊ Χριστοῦ
Ἡμῶν σωτῆρος, ἱερέων διόπῳ,
Σοὶ πενιχρῶν τροφεῖ, σπουδαίοις πᾶσιν ἀρωγῷ,
Σοὶ πατρὶ μουσάων, φωτὶ ἐλευθερίῳ·
Τῷ δ'ἐμέθεν δέξαι μουσῶν στίχον ὅστις ἐσαιεὶ
Μίμνει καὶ σοφίης σῆμα καὶ εὐσεβίης·
Καί μου τὰν καθαρὰν εὔνοιαν μήγε παρέλθῃς,
Ἀλλὰ μ' ἀεικελίου ῥύεο χητοσύνης.
Ἣ με κατατρύχει καὶ οὐκ ἀφίησι προσάσαι
Τῷ τῶν σῶν ἀρετῶν κύδει ἀθανάτῳ·
Καὶ γὰρ Καλλιόπης, ἠδ' οἰάγρου φίλος υἱὸς
Ἄχθει σὺν χαλεπῷ οὔποτ' ἂν ἦξε δρύας.
Καίπερ Ἀπόλλωνος χέλυς ἦν, σίγησ' ἂν ἴδ' αὐτὴ
Θλιβομένη δεινῶς πήματι χητοσύνης (1).

II

Illustrissimo principi et cardinali amplissimo D. Carolo Lotharingo Constantinus Palaeocappa S. (2).

Cum viderem Lutheranorum conspirationem hoc etiam in catholica et ab apostolis constituta ecclesia reprehendere, quod sacrificium ab antiquis patribus atque adeo ipsis apostolis traditum nobis non sit (conantur enim omnibus velut machinis adhibitis persuadere, ac demonstrare antiquam et apostolorum ecclesiam sacrificium illud corporis Christi ab ipso Christo traditum non accepisse, neque posteris tradidisse, sed

(1) Publié en partie par P. Pulch, *l. c.*, p. 190.
(2) Ms. Suppl. grec 303, fol. 1. *Liturgies.*

recentiorum inventum esse), omni studio per literas conquirere per totam Græciam desii fratris Christi λειτουργίαν, ut quum in hanc regionem perlata esset, pii homines hanc velut medicinam animi haberent, impii vero et qui pervicaces sunt de peccato convincerentur; et hac velut scutica cæderentur. Etenim quod antiquius, sanctius, majorisque auctoritatis, divini illius sacri, quam divi Jacobi testimonium esse potest? qui et ipse apostolus, et primus Hierosolymis episcopus a Christo designatus est, quemadmodum multi ex antiquis scriptoribus et ipsis evangeliographis æquales, literarum monumentis tradiderunt : in quibus est Ignatius Theophorus (1) dictus in suis epistolis, Hegesippus item, Clemens, Eusebius et Chrysostomus, quinetiam liber canonicus de consecratione dist. I. in cap. Jacobus (2). Præterea quintus ille ex omni orbe, qui inhabitatur centum sexaginta sanctorum patrum conventus confirmat, divum Jacobum primum omnium missam ecclesiæ tradidisse, deinde Basilium et Chrysostomum brevius, omitto prudens divum Clementem apostolum σύγχρονον sacrificium illud literis mandatum ecclesiæ catholicæ reliquisse. In cujus libri exemplum una cum reliquis scriptis celeberrimorum patrum (quos Augustinus ecclesiæ lumina haud injuria appellat), non adeo diligenter ac nitide descriptum cum incidissem, nihil potius habui quam ut nitidioribus ac regiis notis transcriberem, tuæque amplitudini dicarem. Addidi huic libro Procli archiepiscopi Constantinopolitani testimo-

(1) Hunc Ignatium dicunt nostri theologi Theophorum appellatum esse propterea quod Christus ipsum jam infantem cum amplexus fuisset, benedixit, in medioque XII. discipulorum statuit, illis dicens : Qui acceperit tale puerum in meo nomine me accipit. (Matt. 18. Marc 10, Luc 18.) Hic postea Antiochiæ episcopus designatus est.

(2) Josephus lib. 5. Hegesippus lib. 6. Clemens lib. 6 et septimo Hypotyposeon. Eusebius lib. 2, cap. 23; lib. 3, cap. 2, 5, 11; lib. 4, cap. 5; lib. 7, cap. 19. Chrysostomus ex interpretatione prioris epistolæ ad Corinthios.

nium, quod quia grave et maximi momenti est, in latinum sermonem convertendum putavi, atque in ipsa libri fronte collocandum. Haud enim decebat, tantum principem, in cujus familia christianæ religionis laus semper floruit, tam raris scriptis carere, præsertim quum divina providentia te ecclesiæ velut columen constituerit, quod ut diu incolume sit, cum bonis omnibus ac piis hominibus, tum mihi optandum est. Deum igitur omnipotentem oro, ut te nobis diu florentem servet.

III

Illustrissimo principi et cardinali amplissimo D. Carolo Lotharingo S. (1).

Cum primum mihi renuntiatum est, id quod maxime intelligere cupiebam, te ex Italia magna cum laude ac gloria salvum sospitemque rediisse, cum meum officium esse duxi, ut tibi gratularer, tum mihi statui gaudendum, quod te pro uno patrono optimo ac principe humanissimo utor, jam cum rege omnium maxime esse audierim. Itaque antiquorum auctorum scripta ad te affero, ut intelligas nihil mihi antiquius esse quam ut quoquomodo tibi gratificer. Et vero librum hunc fore tibi gratum ex eo conjicio quod nihil cupidius persequaris quam eam laudem quæ in vestra illa generosa stirpe floruit. Nam ut tuæ familiæ columina omnia sibi pro fidei religionisque tutela ac propugnatione et facienda semper et subeunda esse duxerunt, ita tu his scriptis maxime delectaris, quæ ad religionis honorem et defensionem christianæ veritatis pertinent,

(1) Ms. grec 1057, fol. 1 et v°. *Recueil théologique.*

cujusmodi sunt ea quibus Leo pontifex maximus ejus nominis primus Christianos olim erudivit aut potius sic confirmavit ut libellus hic gravissimo quartæ synodi judicio στήλης τῆς ὀρθοδόξου πίστεως nomen invenerit, cui *Coran,* id est leges a Mahumeto constitutas ex arabico sermone a Choniata in græcum conversas adjiciendas putavi ut veritas falso adposito magis elucescat.

Tuæ amplitudinis observantissimus

CONSTANTINUS PALÆOCAPPA.

IV

Illustrissimo principi et amplissimo cardinali D. Carolo Lotharingo S. (1).

Etsi eæ sunt curæ et occupationes tuæ in hoc tempore, ut magis tu votis precibusque nostris apud Deum adjuvandus, quam litteris interpellandus esse videaris, propterea quod regni administratio tota tuæ fidei diligentiæque permissa in alias cogitationes minime derivanda est; tamen cum veniret mihi in mentem te eum esse qui summam nobilitatem tuam, quam a majoribus accepisti, virtute etiam et humanitate tua feceris ampliorem; ingenii autem tui magnitudinem nossem : qua tu obire simul multa et conficere paratus es, non putavi molestum tibi me facturum, si græca quædam exemplaria, ut rarissima inventu, ita utilissima, ad te afferrem, cujusmodi Hieroclis philosophi, opus est de providentia, quo nemo Platonis mentem, doctorum hominum judicio, melius assequutus es.

(1) Bibliothèque Sainte-Geneviève, A° 2 *bis,* in-fol., fol. E v°. *Recueil théologique.*

Cui magni illius Origenis, et Nemesii philosophi de eadem re scripta apposui, ea autem hoc diligentius tibi conquisivi, quo majori studio concitaris ad ea legenda quæ doctrina reconditiori animum instituunt, et me jam dudum majoribus beneficiis ornas; ut nisi alienigenæ mihi aura tuæ benignitatis aspiraret, jam in vita esse desinerem. Nam præterquam quod magnis rei familiaris difficultatibus affectus sum in morbum etiam ita gravem et diuturnum incidi, ut nullis remediis cedat. Oro te igitur, mi Domine illustrissime, per tuam pietatem ut servum benignitate tua anniversaria sustentare pergas.

Illustrissimæ ac reverendissimæ D. T. servus

CONSTANTINUS PALÆOCAPPA.

V

Illmo principi Carolo, cardinali Lotharingo, ampliss^o archiepiscopo ac duci Remensi, S. (1).

Mos est Persis, illme Princeps, et amplissime Cardinalis, Mœcenasque benignissime, qui etiamnum retinetur, ut venienti Regi in urbem, singuli pro sua quisque munus aliquod afferant, quo ejus benevolentiam conciliare student, suamque obedientiam testantur. Hunc autem morem Romani et Græci lubenter amplexi sunt, ut subjecti principibus et dominis donum aliquod quotannis afferant. Videmus enim in multis Græ-

(1) Bibliothèque de la ville de Reims, ms. E, 291/252. *Recueil théologique.* — Je dois la communication de cette pièce à l'obligeance de mon confrère et ami M. Louis Demaison, archiviste de la ville de Reims.

ciæ urbibus ad Domini Natalem famulos heris munera dare; nimirum id veluti ab ipsis Persarum Magis edocti, qui donis totius mundi imperatorem affecerunt. Ego vero, unus ex tuo famulatu, te munere eo colere decreveram quod tibi jucundum fore arbitrabar; sed in hoc tempus a magnitudine operis rejectus sum (id enim nisi multis diebus expoliri potuit). At non ingratum tibi futurum, quocunque tempore offeratur, vel ex eo ipse auguror, quod pars sit libri illius, quem cum tibi superioribus annis obtulissem, eo maxime delectari mihi visus sis. Alia etiam mihi non minus justa et gravis causa fuit ad te afferendi hunc librum, quod nullum tibi munus convenientius esse judicarem. Nam quemadmodum in ea familia natus es in qua principes multi viri floruerunt, qui pro Christiana religione vitam profuderunt, ita quæcumque sanctorum patrum monimenta alicubi extant, nulli justius consecrari quam tibi possunt. Si igitur hæc Theodoriti Cyrensis atque aliorum beatorum patrum scripta eo vultu acceperis quo alia hujusce scriptoris monimenta :

Sublimi feriam sydera vertice,

multoque alacrior ero ad alia hujus generis in ruderibus Græciæ conquirenda.

Dominum nostrum Jesum Christum precor, ut te nobis semper florentem reddat.

Tuæ amplitudini deditissimus

CONSTANTINUS PALÆOCAPPA.

VI

Invictiss. ac christianiss. Galliarum regi Henrico II (1).

Etsi bellum principum mentes ad se derivare ac convertere solet, Rex christianiss. ac potentissime, tamen cum in ea familia natus sis, quæ literarum laude sic floruit, ut artium parens jure dici possit, non putavi me tibi molestum facturum si gravioribus rebus occupato tibi opus antiqua doctrina refertum a Basilio illo magno religionis Christianæ firmissimo columine conscriptum offerrem; quo quæ obscura sunt in Ethicis Nicomachiis illustrat, atque ita illustrat, ut multi hujus ope Aristotelis sensum intelligentes, multo meliores in imperio tuo evasuri sint. Sed ne notha hæc scripta aliqui existiment grave testimonium Theophylacti adscripsi, in codice quodam admirandæ vetustatis a me inventum. Hæc igitur verba sunt Theophylacti :

« Φωτεινῷ ἱεράρχῃ Θεοφύλακτος ἐπισκόπων ἐλάχιστος.

Προσαγορεύω σε τὴν μακαρίαν ψυχὴν, Φοτεινὲ ἱερώτατε, εἰκότως γὰρ καὶ ὄντως, εἰς τὸ τῆς τριφεγγοῦς τριάδος πανάγιον ὄνομα φωτιζόμενος, Φωτεινὸς ἐπωνοπάσθης, ἐπεὶ πολλοὺς φωτίζειν ἔμελλες διὰ τῆς σῆς ἱερᾶς καὶ μελιῤῥύτου γλώττης· τοῖς μὲν τὰ ἱερὰ λόγια ἀναπτίσσων, τοὺς δὲ τὰ τῶν ἔξωθεν φιλοσόφων παιδεύων· τούτου χάριν βουλόμενος σοι χαρίζεσθαι, καὶ τάχα μικρόν

(1) Bibliothèque nationale, Imprimés, réserve, *E, 3. Constantin Palaeocappa a copié, dans les marges de l'édition de Venise (1498, in-fol.) des Ethiques à Nicomaque d'Aristote, les scholies de S. Basile. L'exemplaire est enluminé aux armes de France et au chiffre de Henri II; c'est l'ancien *Codex Colbertinus* 1955, et on lit sur le feuillet de garde, en tête du volume : « Renvoyé des mss. aux imprimés, le 20 octobre 1738. S[allier]. »

τι ἀνακουφίζειν σε, ᾠήθην πέμψαι σοι τοῦ μεγάλου Βασιλείου εἰς τὰ Νικομάχεια τινὰ σχόλια, ἅπερ αὐτὸς εἰς ὠφέλειαν τῶν παρὰ Ἰουλιανοῦ δεδιωγμένων ἐξέδωκεν. Ἀκηκοάμεν δὲ καὶ παρὰ ἀξιοπίστων τινῶν πρεσβύτων τὸν πάνσοφον πατέρα ἡμῶν Ἀθήνησι σπουδάζοντα καὶ σαυτὸν ἐξασκεῖν βουλόμενον, τάδε ἐπισεσημειωκέναι · ὡς δὲ τὸ πρᾶγμ' ἔχει τοῦ πατρός ἐστι τὸ πόνημα, διὸ εὐλαβῶς ἄσμενος αὐτὸ δέχου, εὐχέτης ὑπὲρ ἡμῶν πρὸς Θεὸν γενόμενος.

« Theophylactus episcoporum minimus Photino « sacerdotum primo. Saluto te, Photine, anime divi- « nissime, jure enim ac re ipsa Photinus cognominatus « es, ut qui sacro illo Triadis nomine triplici luce nos « irradiantis, illustratus es : quod multos dulci illa et « divina tua lingua illuminaturus esses, aliis sacras « literas explicans, alios vero in externa philosophia « instituens. Quamobrem quum tibi gratificari, et la- « borem tibi aliqua ex parte levare cuperem, Basilii « illius magni scholia in Ethica Nicomachia ad te mit- « tenda putavi, quæ ipse ad eorum utilitatem, quos « Julianus infestissime persequebatur, edidit. Audi- « vimus autem a viris quibusdam doctissimis et pro- « vectæ ætatis omni exceptione majoribus, patrem illum « nostrum Athenis literis operam dantem, ac sese « exercere volentem hæc annotasse. Ut ut res se habet, « ego confirmo tibi opus esse patris illius, quare reli- « giose lubenter accipe, votaque fac pro nobis Deo im- « mortali. » Vale.

Tuæ Majestatis servus

CONSTANTINUS PALÆOCAPPA GRÆCUS.

ANNUAIRE

DE L'ASSOCIATION

POUR L'ENCOURAGEMENT

DES ÉTUDES GRECQUES

EN FRANCE

Reconnue établissement d'utilité publique par décret du 7 juillet 1869

20e Année, 1886



PARIS

AU SIÈGE DE L'ASSOCIATION, ÉCOLE DES BEAUX-ARTS

14, RUE BONAPARTE, 14

ERNEST LEROUX, LIBRAIRE-ÉDITEUR

28, RUE BONAPARTE, 28

1886

TABLE DES MATIÈRES

PARTIE ADMINISTRATIVE

ASSEMBLÉE GÉNÉRALE DU 29 AVRIL 1886

MONUMENT EGGER

MÉMOIRES ET NOTICES

BIBLIOGRAPHIE

Le Puy. — Imprimerie de L. & R. Marchessou fils.

